This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`



QA
31
.T391
1817

B. 3 11

THEOLOGUMENA ARITHMETICAE

AD

RARISSIMUM EXEMPLUM PARISIENSE

EMENDATIUS DESCRIPTA.

ACCEDIT

NICOMACHI GERASINI

INSTITUTIO ARITHMETICA

AD

FIDEM CODICUM MONACENSIUM EMENDATA

EDIDIT

FRIDERICUS ASTIUS.

LIPSIAE

IN LIBRARIA WEIDMANNIA

MDCCCXVII.

LECTORI AEQUO ATQUE ERUDITO.

Theologumena, quae dicuntur, arithmeticae, etsi falso Nicomacho tribuuntur, quum, ut ex ipso libello et excerptis illis apud Photium patet, fragmenta tantum e libris Nicomachi, Anatolii, aliorum congesta contineant, tamen et per se et propter singularem illam unici exemplaris Parisini (a. 1543. 4.) raritatem, quae typis repeterentur, digna iudicavimus. Etenim nullus fere liber extat, in quo Pythagoricorum et Platonicorum de numeris rationes opinionumque commenta tam copiose explicata reperiantur: quae quidem, licet a nostra philosophandi numerosque tractandi ratione longissime abhorreant, tamen eum, qui veteris philosophiae historiam varias-

que animi humani conversiones cognoscere atque perspicere cupiat, haud negligere oportet.

Theologumenis adiicere visum est Nicomachi Arithmeticam, ad exemplum Parisiense 1538. 4. codd. MSS. Monacensium ope emendatius descriptam. Nihil aliud vero quum nobis propositum esset, nisi hoc, ut libros propter exemplarium raritatem vel neglectos vel ignotos divulgaremus, criticas easque breves notas iis in locis, ubi scriptura librorum Parisinorum mendosa nobis visa esset, adspergendas esse putavimus.

Scribeb. a. d. XXIII. Aug. 1817.

Fr. Ast.

PRAEFATIO
EDITORIS PARISIENSIS.

AMPLISSIMO VIRO IURISQUE PRUDENTISSIMO

D. EMARIO RANCONETO,

CONSILIARIO REGIO,

CHRISTIANUS WECHELUS

TYPOGRAPHUS

S. D.

Cum sit impudentis hominisque parum grati, vir praestantissime, id velle dissimulare beneficium, quod aliunde acceptum est, idque sibi tanquam suum vindicare, scelus quodammodo esse duxi, si has de arithmetica seu numeris speculationes divinas typis meis in publi-

cum darem tanquam meo pretio emtas, cum publicam huius operis communicationem non solum ego, sed una mecum docti pariter ac bonarum disciplinarum studiosi omnes humanitati tuae acceptam referre debeamus, ut sciant atque intelligant omnes proclivem animi tui non benevolentiam solum, sed etiam magnificentiam in totius rei literariae communem utilitatem, atque dignis ob id te laudibus prosequantur et honoribus, quando singulatim, si singulos spectes, parem profundae animi tui celsitudini gratiam referre possit nemo: quo tu porro alacrius ad id perficiendum, in quo meditando es assiduus, inciteris. Hoc itaque inductus consilio librum hunc sub nominis tui auspicio ex officina mea in lucem prodire volui, tum ut auctoritate tua exciti studiosi avidius eum exciperent, neque prius reiiciendum putarent, quam cognovissent, tum quod materiei ipsius sublimitas non immerito tantae personae requireret patrocinium.

Nam licet in civilium rerum commutatione maiorem usum habeat supputandi ratio, non est tamen illa divinâ hac numerorum ratione dignior aestimanda, ut-

pote quae huius veluti pars est infima, adeoque hic etiam ponderandum est, quod in rebus omnibus iudico esse praestantissimum, non quantum prosit, sed quanta sit res quaelibet. Itaque quemadmodum res mole corporea vacantes praestantiores longe iudicare solemus, utpote quae ad divinitatem accedant propius, quam ea, quae corporeae terrenaeque concretioni sunt immersa, ita nimirum *ταῦτα τὰ τῆς ἀριθμητικῆς θεολογούμενα* dignitate et tractatione logisticam Graecis dictam numerandi supputandique rationem multo antecellunt. In iis siquidem divina illa vis explicatur, quam Pythagoras et veteres philosophi plerique omnes numeris tribuerunt. Utilis itaque est haec arithmetica ad interiorem philosophiam, quam intelligimus iuxta Aristotelem *τὰ μετὰ τὰ φυσικά*, iuxta Platonem theologiam et physicam, ne quid hic dicam nostrae etiam religionis theologos, vetustiores praesertim, ad superstitionem quodammodo arcanae numerorum indagationi eruendae operam dedisse. Haec, praeterquam quod in numeris abscondita et altioribus philosophiae venis abstrusa rimatur, communem etiam illam supputandi artem ex se genuit, de qua si quid necessariae utilitatis inter mor-

tales praedicatur, id totum ad illam ceu fontem est haud dubie referendum.

Valetudinem tuam Deus Opt. Max. servare dignetur, virorum doctissime simul et ornatissime.

Lutetiae Parisiorum 1543. 6. Calendas Julias.

ΤΑ

ΘΕΟΛΟΓΟΥΜΕΝΑ

ΤΗΣ

ΑΡΙΘΜΗΤΙΚΗΣ.

ά. Περὶ μονάδος.

Μονάς ἐστιν ἀρχὴ ἀριθμοῦ, θέσιν μὴ ἔχουσα, λέγεται δὲ μονὰς παρὰ τὸ μένειν· καὶ γὰρ ἡ μονάς, ἐφ' ὃν γίνεται ἀριθμόν, φυλάσσει τὸ αὐτὸ εἶδος, οἷον ἅπαξ τρία τρία, ἅπαξ τέσσαρα τέσσαρα· ἰδοὺ γὰρ ἐπὶ τούτοις προελθοῦσα ἡ μονὰς τὸ αὐτὸ εἶδος ἐφύλαξε καὶ οὐκ ἐποίησεν ἀριθμόν. Πάντα γὰρ ἐκ τῆς πάντα δυνάμει περιεχούσης μονάδος διακεκόσμηται· αὕτη γὰρ καὶ εἰ μήπω ἐνεργείᾳ, ἀλλ' οὖν σπερματικῶς πάντας τοὺς ἐν πᾶσιν ἀριθμοῖς καὶ δὴ καὶ τοὺς ἐν δυάδι λόγους ἔχει, ἀρτία τε οὖσα καὶ περιττή, καὶ ἀρτιοπέριττος, καὶ γραμμή, καὶ ἐπίπεδος, καὶ στερεὰ κυβική τε, καὶ σφαιρική, καὶ ἀπὸ τετραγώνου μέχρις ἀπειρογώνου ἐν πυραμίδων εἴδεσι, τελεία τε καὶ ὑπερτελής, καὶ ἐλλιπὴς καὶ ἀνάλογος, καὶ ἁρμονική, καὶ πρώτη, καὶ ἀσύνθετος, καὶ δευτέρα, καὶ διαμετρική τε καὶ πλευρική, καὶ ἐν ἰσότητι καὶ ἐν ἀνισότητι πάσης κατάρχουσα σχέσεως, ὡς ἐν τῇ εἰσαγωγῇ ἀποδέδεικται· πρὸς δὲ τοῖς εἰρημένοις σημεῖόν τε καὶ γωνία σὺν ἅπασι τοῖς γωνίοις εἴδεσιν, ἀρχή τε καὶ μέσον καὶ τέλος τῶν ὅλων φαίνεται· ἐπὶ μὲν τὸ μεῖον αὐτῆς, τὴν ἐπ' ἄπειρον τοῦ συνεχοῦς ὁρίζουσα τομήν, ἐπὶ δὲ τὸ μεῖζον, τὴν ὁμοίαν τοῖς διῃρημένοις ἐπαύξησιν, οὐχ ἡμῶν τοῦτο θεμένων, ἀλλὰ θείας φύσεως. Ἀναλόγως γοῦν ἀνθυπακούει καὶ ἀντιπεριΐσταται ἑκάτερα ἐν αὐτῇ τὰ μέρη πρὸς τὰ ὅλα, ὡς ἐν τῷ λαμβδοειδεῖ διαγράμματι ἐσαφηνίσθη κατὰ τὴν ἀρχὴν τῆς ἀριθμητικῆς· διὸ καὶ ὡς τὰ μήκει διπλάσια

δυνάμει τετραπλάσια, στερεῷ δὲ ὀκταπλάσια, καὶ
6 τὰ μήκει τριπλάσια δυνάμει μὲν ἐννεαπλάσια, στε-
ρεῷ δὲ ἑπτακαιεικοσιπλάσια, ἐν τῇ τῶν ἀριθμῶν
πάντων εὐταξίᾳ, οὕτω κἀν τῇ τῶν μερῶν τὰ μὲν
μήκει ἡμίση δυνάμει τεταρτημόρια, στερεῷ δὲ
ὀγδοημόρια, τὰ δὲ μήκει τρίτα δυνάμει μὲν ἔννατα,
στερεῷ δὲ ἑπτακαιεικοσιμόρια. Καὶ πᾶν δὲ πλή-
θους σύστημα ὑποτομῆς μόριον κατὰ μονάδα εἰδο-
ποιεῖται· μία γὰρ δεκὰς καὶ μία χιλιάς, καὶ ἔμπα-
λιν δέκατον ἕν, καὶ χιλιοστὸν ἕν, καὶ τὰ μόρια ἐπ'
ἄπειρον. Καθ' ἕκαστον δὲ τούτων εἴδει μὲν ἡ αὐτὴ
μονάς, μεγέθει δὲ ἄλλη καὶ ἄλλη. Ἑαυτὴν πρὸς
τούτοις γεννῶσα ἐξ αὑτῆς, καθὰ καὶ ὁ κοσμικὸς λό-
γος καὶ ἡ τῶν ὄντων φύσις, καὶ πάντα διατηροῦσα
καὶ μεταπίπτειν οὐκ ἐῶσα, ᾧ ἂν προσγένηται, μόνη
τῶν ἄλλων ὁμοίως τῷ τοῦ παντὸς σωτηρίῳ προνοίᾳ
ἐμφῆναί τε τὸν περὶ θεοῦ λόγον καὶ προοικειωθῆ-
ναι αὐτῷ μάλιστα πάντων ἐπιτηδειοτάτη, ὅσῳ
προεχεστάτη. Καὶ εἶδος εἰδῶν τυγχάνει, ὡς τέχνη
τις τεχνικῷ καὶ νόησις νοητικῷ. Μετρίως δὲ ἀπε-
δείχθη τοῦτο ἐν τῇ περὶ ἑτερομηκῶν καὶ τετραγώνων
ἐναντιώσει τῇ φιλαλλήλῳ. Καὶ ὅτι τὸν θεόν φησιν
ὁ Νικόμαχος τῇ μοναδι ἐφαρμόζειν, σπερματικῶς
ὑπάρχοντα πάντα τὰ ἐν τῇ φύσει ὄντα, ὡς αὐτῇ ἐν
ἀριθμῷ ἐμπεριέχεται δυνάμει τὰ δοκοῦντα ἐναν-
τιώτατα κατ' ἐνέργειαν εἶναι πᾶσιν ἁπλῶς ἐναντι-
ότητος τρόποις, καθὼς αὐτὴ ἀῤῥήτῳ τινὶ φύσει
πανειδὴς οὖσα ὤφθη παρ' ὅλην τὴν ἀριθμητικὴν εἰς-
αγωγήν, ἀρχήν τε καὶ μέσον καὶ τέλος ἀνειληφυῖα
τῶν ὅλων, ἐάν τε κατ' ἀλληλουχίαν ἐάν τε κατὰ
παράθεσιν ἐπινοῶμεν αὐτὴν συνεστάναι, καθάπερ
καὶ μονὰς ἀρχή τε καὶ μέσον καὶ τέλος προσοῦ τε καὶ
πηλίκου καὶ προσέτι πάσης ποιότητος. Ὡς δὲ οὐκ
ἄνευ αὐτῆς σύστασις ἁπλῶς τινός, οὕτως δὲ χωρὶς
αὐτῆς γνώρισις οὐτινοσοῦν, ὡς φωτὸς καθαροῦ κυ-
ριωτάτης πάντων ἁπλῶς οὔσης, καὶ ἡλιοειδοῦς καὶ

ἡγεμονικοῦ, ἵν' ἐοίκῃ καθ' ἕκαστον τούτων τῷ θεῷ, καὶ μάλιστα, καθὸ φιλοτικὴ καὶ συστατικὴ καὶ τῶν 7
πολυμιγῶν καὶ πάνυ διαφορωτάτων, ὡς ἐκεῖνος ἐξ οὕτως ἀντικειμένων ἁρμόσας καὶ ἑνώσας. Τὸ δὲ πᾶν ἑαυτήν γε μὴν γεννᾷ καὶ ἀφ' ἑαυτῆς γεννᾶται, καὶ αὐτοτελὴς καὶ ἄναρχος, καὶ ἀτελεύτητος, καὶ διαμονῆς αἰτία φαίνεται, καθὼς ὁ θεὸς ἐν τοῖς φυσικοῖς ἐνεργήμασι τοιοῦτος ἐπινοεῖται διασωστικὸς καὶ τῶν φύσεων τηρητικός. Λέγουσιν οὖν ταύτην οὐ μόνον θεόν, ἀλλὰ καὶ νοῦν καὶ ἀρσενόθηλυν· νοῦν μέν, ὅτι τὸ ἐν θεῷ ἡγεμονικώτατον καὶ ἐν κοσμοποιΐᾳ καὶ ἐν πάσῃ ἁπλῶς τέχνῃ τε καὶ λόγῳ, εἰ καὶ μὴ ἐπιφαίνοιτο καθ' ἕκαστον ὅλης δι' ἐνεργείας, νοῦς ἐστί, ταυτότης τις ὢν καὶ ἀμετάτρεπτος δι' ἐπιστήμης, ὡς αὐτὴ πάντα περιειληφυῖα ἐν ἑαυτῇ κατ' ἐπίνοιαν, εἰ καὶ κατ' ἔκστασιν ἐν τοῖς τῶν ὄντων εἴδεσιν, ὡς λόγος τις τεχνικὸς ἐοικὼς τῷ θεῷ, καὶ οὐ καθισταμένη τοῦ καθ' ἑαυτὴν λόγου, οὐδὲ μεθίστασθαι ἄλλον τινὰ ἐῶσα, ἀλλὰ ἄτρεπτος ὡς ἀληθῶς καὶ μοῖρα Ἄτροπος. Καὶ τοῦτο γὰρ καλεῖται δημιουργὸς καὶ πλάστρια, προσόδοις καὶ ἀποχωρήσεσι ἐπινοουμένη τῶν μαθηματικῶν φύσεων, ἀφ' ὧν σωματότητες καὶ ζωογονίαι καὶ συντάξεις κοσμικαί. Διὸ καὶ Προμηθέα μυθεύουσιν αὐτήν, δημιουργὸν ζωότητος, ἀπὸ τοῦ πρόσω μηδενὶ τρόπῳ θεῖν μηδὲ ἐκφοιτᾶν τοῦ ἰδίου λόγου μονωτάτην, μηδὲ ἄλλα ἐᾶν, μεταδιδοῦσαν τῶν ἰδιωμάτων ἑαυτῆς· ὁπόσαις γὰρ ἂν αὐξηθῇ ἀποστάσεσιν ἢ ὁπόσας ἂν αὐξήσῃ, θεῖν πρόσω κωλύει καὶ μεταπίπτειν εἰς τὸν ἐξ ἀρχῆς ἑαυτῆς τε κἀκείνων λόγον. Ὡς δὲ σπέρμα συλλήβδην ἁπάντων ἄρσενά τε καὶ θηλείαν τὴν αὐτὴν τίθενται, οὐ μόνον, ἐπεὶ τὸ μὲν περιττὸν ἄρσεν δυςδιαίρετον ὄν, τὸ δὲ ἄρτιον θῆλυ λυτὸν ὂν ᾤοντο, ἀρτίαν δὲ καὶ περιττὴν μόνην αὐτήν, ἀλλὰ καὶ ὅτι πατὴρ καὶ μήτηρ, ὕλης καὶ εἴδους λόγον ἔχουσα ἐπενοεῖτο, τε-

χνίτου καὶ τεχνητοῦ· καὶ δυάδος γὰρ παρεκτικὴ διαφορηθεῖσα· ῥᾷον γὰρ τεχνίτῃ ὕλην ἑαυτῷ προσάγεσθαι ἢ τὸ ἔμπαλιν ὕλῃ τεχνίτην· τὸ δὲ σπέρμα
8 καὶ θήλεων καὶ ἀῤῥένων, ὅσον ἐπ' αὐτῷ παρεκτικὸν ἀποσπαρέν, ἀδιάκριτόν τε καὶ ἀμφοῖν φύσιν παρέχει κἂν τῇ μέχρι τινὸς κινήσει, βρεφοῦσθαι δὲ ἀρχόμενον ἢ φυτοῦσθαι διάλλαξιν λοιπὸν ἐπὶ θάτερον καὶ ἐνάλλαξιν ἐπιδέχεται, μετιὸν ἀπὸ δυνάμεως εἰς ἐνέργειαν. Εἰ δὲ δύναμις παντὸς ἀριθμοῦ ἐν μονάδι, νοητὸς ἂν κυρίως ἀριθμὸς εἴη μονάς, οὔπω τι ἐνεργὸν ἀποφαίνουσα, ἀλλὰ πάνθ' ὁμοῦ κατ' ἐπίνοιαν. Κατὰ δέ τι σημαινόμενον καὶ ὕλην αὐτὴν καλοῦσι καὶ πανδοχέα γε, ὡς παρεκτικὴν οὖσαν καὶ δυάδος τῆς κυρίως ὕλης καὶ πάντων χωρητικὴν λόγων, εἴ γε πᾶσι παρεκτικὴ καὶ μεταδοτικὴ τυγχάνει. Ὡσαύτως δὲ χάος αὐτὴν φασι τὸ παρ' Ἡσιόδῳ πρωτόγονον, ἐξ οὗ τὰ λοιπὰ ὡς ἐκ μονάδος· ἡ αὐτὴ σύγχυσίς τε καὶ σύγκρασις, ἀλαμπία τε καὶ σκοτωδία στερήσει διαῤῥώσεως καὶ διακρίσεως τῶν ἑξῆς ἁπάντων ἐπινοεῖται. Ὅτι Ἀνατόλιος γονὴν αὐτὴν φησι καλεῖσθαι καὶ ὕλην, ὡς ἄνευ αὐτῆς μὴ ὄντος μηδενὸς ἀριθμοῦ. Ὅτι τὸ τῆς μονάδος σημαντικὸν χάραγμα σύμβολόν ἐστι τῆς τῶν ὅλων ἀρχικωτάτης, καὶ τὴν πρὸς τὸν ἥλιον κοινωνίαν ἐμφαίνει διὰ τῆς συγκεφαλαιώσεως τοῦ ὀνόματος αὐτῆς· συναριθμηθὲν γὰρ τὸ μονὰς ὄνομα τξά ἀποδίδωσιν, ἅπερ ζωδιακοῦ κύκλου μοῖραί εἰσιν. Ὅτι τὴν μονάδα ἐκάλουν οἱ Πυθαγόρειοι νοῦν, εἰκάζοντες τῷ ἑνί· ἐν ἀρεταῖς γὰρ εἴκαζον αὐτὴν φρονήσει· τὸ γὰρ ὀρθὸν ἕν. Ἐκάλουν δὲ αὐτὴν οὐσίαν, αἴτιον ἀληθείας, ἁπλοῦν παράδειγμα, τάξιν συμφωνίας, ἐν μείζονι καὶ ἐλάσσονι τὸ ἴσον, ἐν ἐπιτάσει καὶ ἀνέσει τὸ μέσον, ἐν πλήθει τὸ μέτριον, ἐν χρόνῳ τὸν νῦν ἑνεστῶτα· ἔτι δὲ καὶ ναῦν, ἅρμα, φίλον, ζωήν, εὐδαιμονίαν. Πρὸς

τούτοις φασί, περὶ τὸ μέσον τῶν τεσσάρων στοιχείων κεῖσθαί τινα ἐναδικὸν διάπυρον κύβον, οὗ τὴν μεσότητα τῆς θέας καὶ Ὅμηρον εἰδέναι λέγοντα·

Τόσσον ἔνερθ' ἄϊδος, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης.

Ἐοίκασι δὲ κατά γε ταῦτα κατηκολουθηκέναι τοῖς Πυθαγορείοις οἵ τε περὶ Ἐμπεδοκλέα καὶ Παρμενίδην καὶ σχεδὸν οἱ πλεῖστοι τῶν πάλαι σο-9
φῶν, φάμενοι τὴν μοναδικὴν φύσιν Ἑστίας τρόπον ἐν μέσῳ ἱδρύσθαι, καὶ διὰ τὸ ἰσόῤῥοπον φυλάσσειν τὴν αὐτὴν ἕδραν· καὶ δὴ Εὐριπίδης, ὡς Ἀναξαγόρου γενόμενος μαθητής, οὕτω τῆς γῆς μέμνηται, ἑστίαν δέ γε οἱ σοφοὶ βροτῶν νομίζουσιν. Ἔτι φασὶν οἱ Πυθαγόρειοι, καὶ τὸ ὀρθογώνιον τρίγωνον ὑπὸ Πυθαγόρου τὴν σύστασιν λαβεῖν διὰ μονάδος, κατιδόντος τοὺς ἐν αὐτῷ ἀριθμούς. Ἔτι τὴν ὕλην τῇ δυάδι προσαρμόττουσιν οἱ Πυθαγορικοί· ἑτερότητος γὰρ ἐκείνη μὲν ἐν φύσει, δυὰς δὲ ἐν ἀριθμῷ κατάρχει· καὶ ὡς ἐκείνη ἀόριστος καθ' αὑτὴν καὶ ἀσχημάτιστος, οὕτω μονωτάτη ἁπάντων ἀριθμῶν δυὰς σχήματος οὐκ ἔστιν ἐπιδεκτική· μήτε γὰρ καὶ διὰ τοῦτο δύναται ἀόριστος ἡ δυὰς κεκλῆσθαι· ὑπὸ γὰρ ἐλαχίστων καὶ πρώτων τριῶν γωνιῶν ἢ καὶ εὐθειῶν σχῆμα κατ' ἐνέργειαν περιέχεται, κατὰ δύναμιν δὲ ἡ μονάς. Οὐκ ἀπιθάνως δὲ καὶ Πρωτέα προσηγόρευον αὐτὴν τὸν ἐν Αἰγύπτῳ πάμμορφον ἥρωα, τὰ πάντων ἰδιώματα περιέχουσαν, ὡς ἐκεῖνος, τὸ ἑκάστου ἀριθμοῦ συνέργημα.

β'. Ἀνατολίου περὶ δυάδος.

Ὅτι ἡ δυὰς συντεθεῖσα ἴσα δύναται τῷ ἀπ' αὐτῆς γινομένῳ· ἡ γὰρ σύνθεσις ταύτης καὶ ὁ πολλαπλασιασμὸς τοῦτο αὐτὸ ποιεῖ, ἤγουν τὸν δ', καίτοι ἐπὶ τῶν ἄλλων ὁ πολλαπλασιασμὸς τῆς συνθέσεως μείζων. Εἴκαζον δὲ αὐτὴν ἐν ἀρεταῖς ἀνδρείᾳ· προβέβηκε γὰρ ἤδη ἐπὶ πρᾶξιν, διὸ καὶ τόλμαν ἐκά-

λουν καὶ ὁρμήν. Καὶ δόξαν δὲ ὠνόμαζον, ὅτι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἐν δόξῃ. Ὠνόμαζον δὲ αὐτὴν κίνησιν, γένεσιν, μεταβολήν, διαίρεσιν, μῆκος, αὔξησιν, σύνθεσιν, κοινωνίαν, τὸ πρός τι, λόγον τὸν ἀναλογίαν· δύο γὰρ ἀριθμῶν σχέσις πανσχήμων ἐστίν· ἀπολείπεται δὴ μόνη σχήματος ἄμοιρος καὶ ἐν τρισὶν ὅροις καὶ ἐν ἀναλογίᾳ ὁρισμοῦ τινὸς ἡ δυάς, ὑπάρχουσα ἀντίξους τε καὶ ἐναντιωτάτη παρὰ πάντας τοὺς ἐν ἀριθμῷ ὅρους τῇ μονάδι, ὡς ὕλη θεῷ καὶ σῶμα ἀσωμάτῳ, ἀρχῇ τε καὶ πυθμὴν ὡςανεὶ τῆς τοῦ ἀριθμοῦ ἑτεροειδείας κατ' εἰκόνα ὕλης, ἀντιδιαστελλομένη παραπλησίως τῇ τοῦ θεοῦ φύσει κατὰ τὸ αὐτὴν μὲν τῆς μεταπτώσεως καὶ μεταβολῆς ἐμποιητικὴν τοῖς οὖσι νομίζεσθαι, τὸν δὲ θεὸν ταυτότητος καὶ ἀμεταπτώτου διαμονῆς. Ἓν μὲν οὖν ἕκαστόν τι ἐν κόσμῳ κατὰ τὴν ἐν αὐτῷ φυσικὴν καὶ συστηματικὴν μονάδα, διαιρετὸν δὲ πάλιν ἕκαστον, καθ' ὅσον ἀναγκαίου καὶ ὑλικῆς δυάδος μετέσχε· διόπερ ἡ πρώτη σύνοδος αὐτῶν πρῶτον ὡρισμένον πλῆθος ἀπετέλεσε, στοιχεῖον τῶν ὄντων, ὃ ἂν εἴη τρίγωνον μεγεθῶν τε καὶ ἀριθμῶν σωματικῶν τε καὶ ἀσωμάτων· ὡς γὰρ ὁ ὀπὸς τὸ κεχυμένον γάλα συστρέφει κατὰ τὸ ποιητικόν τε καὶ ἐργαστικὸν ἰδίωμα, οὕτως ἡ ἑνωτικὴ δύναμις τῆς μονάδος προελθοῦσα τῇ δυάδι, εὐπορίας καὶ λύσεως οὔσῃ πηγῇ, πέρας ἐνεποίησεν, εἶδος δέ, ὅπερ ἐστὶν ἀριθμός, τῇ τριάδι· ἀρχὴ γὰρ κατ' ἐνέργειαν ἀριθμοῦ αὕτη, μονάδων συστήμασιν ὁριζομένου. Μονὰς δὲ τρόπον τινὰ καὶ ἡ δυὰς διὰ τὸ ἀρχοειδές. Ὅτι δυὰς λέγεται παρὰ τὸ διϊέναι καὶ διαπορεύεσθαι· πρώτη γὰρ ἡ δυὰς διεχώρισεν αὐτὴν ἐκ τῆς μονάδος, ὅθεν καὶ τόλμια καλεῖται· τῆς γὰρ μονάδος ἕνωσιν δηλούσης, ἡ δυὰς ὑπειςελθοῦσα διαχωρισμὸν δηλοῖ. Ὅτι καὶ τῆς πρός τί πως σχέσεως αὐτὴ κατάρχει, ἢ νῷ πρὸς τὴν μονάδα λόγῳ, ὃς

ἐστι διπλάσιος, ἢ τῷ πρὸς τὸν μετ' αὐτήν, ὃς ἐστιν ἡμιόλιος· ῥίζα δὲ οὗτος τῶν ἐφ' ἑκάτερα ἀπείρως προϊόντων λόγων, ὥστε καὶ τῇ τῶν πολλαπλασίων τε καὶ ἐπιμορίων ἡ αὐτή ἐστιν. Ὅτι καὶ ἡ δυὰς στοιχεῖον τῆς τῶν ὅλων συστάσεως, ἀντίξουν μονάδι καὶ διὰ τοῦτο ἐπιμονῇ ὑποπεσὸν πρὸς αὐτήν, ὡς ὕλη τις πρὸς εἶδος· ὅθεν ἐπεὶ τοῦ μὲν εἶναι καὶ ἀεὶ εἶναι τὸ εἶδος συλληπτικόν, τῶν δὲ ἐναντίων ἡ ὕλη, τῶν μὲν πάντη ὁμοίων καὶ ταυτῶν χσμωνύμων, ὅ ἐστι, 11
τετραγώνων, ἡ μονὰς αἰτία, οὐ μόνον, ἐπειδὴ ὡς γνώμονι αὐτῇ περιτιθέμενοι οἱ ἑξῆς ἀριθμοὶ περιττοί, εἰδοποιήματα αὐτῆς ὄντες, τετράγωνους ἀπετέλουν τῇ σωρηδὸν προβάσει, ἀεὶ καὶ μᾶλλον τοὺς ἐπ' ἄπειρον καὶ ἑξῆς προϊόντας, ἀλλ' ὅτι καὶ ἑκάστη πλευρά, ὥσπερ καμπτὴρ ἀπὸ ὕσπληγγος μονάδος εἰς δὲ νύσσαν μονάδα, πάλιν εἶχε τῆς προόδου καὶ ἐπανόδου τὴν σύνθεσιν ἀφ' ἑαυτῆς αὐτὸν τὸν τετράγωνον. Τῶν δὲ πάντη ἀνομοίων, ὅ ἐστιν, ἑτερομήκων, ἡ δυὰς πάλιν αἰτία, οὐ μόνον, ὅτι, περιτιθεμένων αὐτῇ ὡς γνώμονι τῶν κατ' αὐτὴν εἰδῶν εἰδοποιηθέντων ἀρτίων, καὶ οὗτοι σωρηδὸν ἀποτελοῦνται, ἀλλὰ καί, ὅτι ἐν τῇ αὐτῇ τοῦ καμπτῆρός τε καὶ νύσσης καὶ ὕσπληγγος εἰκόνι τὴν μὲν γέννην ὁμοίως παρέχειν ἡ μονὰς φαίνεται, ὡς τοῦ τε ταυτοῦ καὶ ἁπλῶς διαμονῆς αἰτία, τὴν δὲ φθορὰν καὶ ἐπάνοδον παρηλλαγμένως πρὸς τοὺς προτέρους ἡ δυὰς ἀναδέχεσθαι, ὡς ὑλική τις ὑπόστασις καὶ φθορᾶς πάσης ἀναδεκτική. Ὅτι νοουμένου πλήθους κατὰ τριάδα τοῦ τ' ἀντιθεωμένου τῷ πλήθει κατὰ τὴν μονάδα μεταίχμιον ἡ δυὰς ἂν εἴη. Διὰ τοῦτο καὶ τὰ ἀμφοτέρων ἰδιώματα ἅμα ἔχει· τοῦ μὲν γὰρ ἑνὸς ὡσανεὶ ἀρχῆς ἰδίωμα τὸ κατὰ σύνθεσιν πλεῖόν τι ποιεῖν τοῦ κατ' ἔγκρασιν· ἓν γοῦν καὶ ἓν πλέον τοῦ ἅπαξ ἕν· τοῦ δὲ πλήθους ὡσανεὶ ἀποτελέσματος πάλιν ἴδιον τὸ ἐναντίον· ἐκ μὲν γὰρ ἐγκράσεως πλεῖον ποιεῖ, ἐκ δὲ παραθέσεως ἔλαττον· οὐκέτι

γὰρ ἀρχοειδὲς τοῦτο, ἀλλὰ ἐξ ἀλλήλων. Λοιπὸν ἡ γέννησις αὐτοῖς καὶ κατὰ κρᾶσιν· τοιγαροῦν τρὶς τρία πλεῖον τῶν τρία καὶ τρία· ἐναντιοπαθούντων δὲ ἀμφοῖν, ἡ δυὰς ὡσανεὶ μέση οὖσα καὶ τὰ ἀμφοῖν ἅμα ἀναδέξεται ἰδιώματα, τὴν ἑκατέρων μεσότητα λαμβάνουσα· μέσον γὰρ μείζονος καὶ ἐλάσσονος εἴπομεν εἶναι τὸ ἴσον. Τὸ ἴσον ἄρα ἐν μόνῃ ταύτῃ· διὰ τοῦτο ἔσται τὸ ἐκ καταμράσεως τῷ ἐκ παραθέσεως ἴσον· δύο γὰρ καὶ δύο ἴσα τῷ δὶς δύο· ἔνθεν
12 ἴσην αὐτὴν ἐπεκάλουν. Ὅτι δὲ εἰδοποιὸς τοῦ τοιούτου καὶ τοῖς προςήκουσιν αὐτῷ πᾶσι, δῆλον οὐ μόνον, ἐξ ὧν ἐνέργεια ἰσότητος πρώτη ἔμφασιν παρέσχεν ἐπιπέδως τε καὶ στερεῶς ἔν τε τῷ δύο μήκους τε καὶ πλάτους καὶ ἐν τῷ ὀκτὼ πρὸς τούτοις βάθους καὶ ὕψους, ἐν αὐτῇ τῇ διαιρέσει εἰς δύο μονάδας, οὐ δι' ἀλλήλων οὔσας, ἀλλὰ καὶ ἐν τῷ λεγομένῳ ἀπ' αὐτῆς ἑκλεκτῷ, τουτέστι, τῷ ιστ', ὄντι δὶς δύο δίς, καὶ τοῦτο διὰ τῆς ἀπ' αὐτῆς λεγομένης χροιᾶς ἐπιπέδου ὑπάρχοντι· τετράκις γὰρ τέσσαρα· καὶ οὕτως μεσότης τις τρόπον τινὰ ὁρᾶται πλείονος καὶ ἐλάττονος, κατὰ τὰ αὐτὰ τῇ δυάδι· οἱ μὲν γὰρ πρὸ αὐτοῦ τετράγωνοι πλείονας ἔχουσι τὰς περιμέτρους τῶν ἐμβαδῶν, οἱ δὲ μετ' αὐτὸν ἀντικειμένως ἐλάττονας· οὕτως δὴ μονώτατος ἴσος. Διὰ τοῦτο φαίνεται καὶ Πλάτων ἐν τῷ Θεαιτήτῳ μέχρι αὐτοῦ προελθὼν παύεσθαί πω ἐν τῇ ἑπταπαιδεκάποδι πρὸς ἔμφασιν τοῦ κατὰ τὸν ἑπτὰ καὶ δέκα ἰδιώματος καὶ ἰσότητός τινος μεθεκτοῦ. Τί οὖν ὁρῶντες οἱ παλαιοὶ ἄνισον τὴν δυάδα ἐκάλουν καὶ ἔλλειψιν καὶ πλεονασμόν; Κατὰ τὴν τῆς ὕλης ἔννοιαν, ἢ δηλονότι ἐν αὐτῷ πρώτη ἀπόστασίς τε καὶ πλευρᾶς ἔννοια ὤφθη· διαφορᾶς ἤδη καὶ ἀνισότητος ἀρχή· καὶ ἄλλως δέ, ὅτι μέχρι μὲν αὐτῆς ἡ ἀντεξέτασις πλείων τοῦ πρὸ αὐτῆς, μέχρι δὲ τετράδος ἐλάττων τῶν πρὸ αὐτῆς· ἀναμέσου δὲ ἀμφοῖν τῆς τριάδος φύσης, συμβήσεται πάλιν ἑτέρῳ τρόπῳ ὁ τῆς ἰσότη-

τος λόγος ἐν τριάδι πρὸς τοὺς πρὸ αὐτῆς· ὁ δύο μὲν γὰρ μείζων τοῦ προκειμένου, λέγω δὲ τοῦ ἕν, καὶ κατὰ τὴν πυθμενικωτάτην γε τοῦ μείζονος σχέσιν, ὁ δ' δὲ ἐλάττων τοῦ γ' β' ἀ κατὰ τὴν πυθμενικωτάτην γε τοῦ ἐλάττονος σχέσιν, τρία δὲ ἴσα τῷ δύο ἓν κατὰ τὴν ἄσχιστόν γε ἰσότητα, ὥστε ἐν μὲν αὐτῇ ὡς πλευρᾷ τὸ πλεῖον, ἐν δὲ τῇ δυνάμει αὐτῆς ὡς ἐπιπέδῳ τὸ ἔλαττον ἐφαρμόζεσθαι. Ἔλλειψις δὲ καὶ πλεονασμὸς λέγεται καὶ ὕλη, ἣν καὶ ἀόριστον δυάδα ὁμωνύμως ταύτῃ καλοῦσι, διὰ τὸ μορφῆς καὶ εἴδους καὶ ὁρισμοῦ τινὸς ἐστερῆσθαι, ὅσον 13
ἐφ' ἑαυτῇ, οἷόν τε δὲ διορισθῆναί τε καὶ ὁρισθῆναι ὑπὸ λόγου καὶ τέχνης. Ὅτι ἡ δυὰς φαίνεται ἀσχηματίστος, εἴπερ ἀπὸ μὲν τριγώνου καὶ τριάδος τὰ ἐπ' ἄπειρον πολύγωνα ἐνεργείᾳ προχωρεῖ, ἐκ δὲ μονάδος πάνθ' ὁμοῦ κατὰ δύναμιν ὑπάρχει, ὑπὸ δὲ δύο οὔτε εὐθειῶν ποτὲ οὐδὲ γωνιῶν εὐθύγραμμον συνίσταται σχῆμα· κατὰ μόνην ἄρα αὐτὴν τὸ ἀόριστον καὶ ἀσχημάτιστον. Ὅτι δὲ καὶ τὸ ἄπειρον φαίνεται, εἴγε καὶ τὸ ἕτερον, τοῦτο δὲ ἀπὸ τοῦ παρ' ἓν ἀρξάμενον εἰς ἄπειρον ἐκπίπτει. Λύναται δὲ καὶ ἀπείρου παρεκτικὴ λέγεσθαι, ὅτι μήκους πρώτη ἔμφασις ἐν δυάδι, ὡς ἀπὸ σημείου τῆς μονάδος, ἐπ' ἄπειρον δὲ τοῦτο καὶ διαιρεῖται καὶ αὔξεται· καὶ μὴν καὶ ἡ τῆς ἀνισότητος φύσις ἐπ' ἄπειρον προϊέναι μέλλουσα ἀπ' αὐτῆς ἄρχεται, ἐναντιοζύγως τῇ μονάδι· μείζων δὲ καὶ ἐλάττων ἡ πρώτη διαίρεσις αὐτῶν. Οὐκ ἀριθμὸς δὲ ἡ δυὰς οὐδὲ ἄρτιος, ὅτι μὴ ἐνεργείᾳ· ἀμέλει πᾶς ἄρτιος καὶ ἴσα καὶ ἄνισα δύναται ὁ αὐτὸς μερίζεσθαι, μόνη δὲ ἡ δυὰς εἰς ἄνισα οὐκ ἂν μερισθείη, καὶ εἰς ἴσα μερισθεῖσα ἄδηλον, ὁποτέρου γένους αὐτὰ ἕξει, ὡς ἀρχοειδής τις οὖσα. Ὅτι ἡ δυὰς καὶ Ἔρατώ, φασί, καλεῖται· τὴν γὰρ τῆς μονάδος ὡς εἴδους πρόοδον δι' ἔρωτα ἐπισπωμένη, τὰ λοιπὰ ἀποτελέσματα γεννᾷ, ἀρξαμένη ἀπὸ τριάδος καὶ τετράδος. Ὡνο-

μάσθαι δὲ αὐτὴν οἴονται παρ' αὐτὴν τὴν τόλμησιν· ὅτι ἄρα ὑπέμεινε τὸν χωρισμὸν πρωτίστη, δύη τε καὶ ὑπομονὴ καὶ τλημοσύνη· ἀπὸ δὲ τῆς εἰς δύο τομῆς Δίκη τε, οἱονεὶ δίχη, καὶ Ἴσις, οὐ μόνον, ὅτι ἴσον ἐν αὐτῇ τὸ ἀπὸ κατακράσεως, ὡς ἔφαμεν, τῷ ἀπὸ συνθέσεως, ἀλλὰ καί, ὅτι οὐδὲ τὴν εἰς ἄνισα μονωτάτη διαίρεσιν ἐγχωρεῖ. Καὶ φύσιν δὲ αὐτὴν καλοῦσι· κίνησις γὰρ εἰς τὸ εἶναί ἐστιν αὐτὴ καὶ οἷον γένεσίς τις ἀπὸ λόγου σπερματικοῦ καὶ ἔκτασις, τετευχυῖα παρὰ τὸ τοιοῦτον τῆς ὀνομασίας, παρ' ὅσον ἐστὶ κίνησις ἀφ' ἑτέρου εἰς ἕτερον κατ' εἰκόνα
14 τῆς δυάδος. Ὑπὸ μέντοι τῶν ἀριθμητικῶν ἤδη καὶ δεύτερον παραλογιζόμενοί τινες ἐπινοεῖν διδάσκονται, τὴν δυάδα δύο τινῶν μονάδων σύστημα εἶναι, ὥστε καὶ λυομένην εἰς τὰς αὐτὰς ἀνατρέχειν μονάδας· ἀλλ' εἴτε σύστημα μονάδων ἡ δυάς, προγενέστεραι αἱ μονάδες, εἴτε ἥμισυ δυάδος ἡ μονάς, προϋπάρχειν δεῖ τὴν δυάδα, εἴτε σώζοιντο αὐταῖς αἱ πρὸς ἀλλήλας σχέσεις, συνυπάρχειν ἀναγκαῖον, καθ' ὃ διπλάσιον ἡμίσους καὶ ἥμισυ διπλασίου, καὶ οὔτε πρότερα οὔθ' ὕστερα διὰ τὸ συνεπιφέρειν τε καὶ συνεπιφέρεσθαι, καὶ συναναιρεῖν καὶ συναναιρεῖσθαι. Ὅτι καὶ Διομήτορα ταύτην ὠνόμαζον, ὡς Διὸς μητέρα (Δία δ' ἔλεγον τὴν μονάδα), καὶ Ῥέαν ἀπὸ τῆς ῥύσεως καὶ ἀπὸ τῆς τάσεως, ὅπερ οἰκεῖον καὶ δυάδι καὶ φύσει τῇ πάντα γεννωμένῃ. Καὶ τῇ σελήνῃ δέ φασιν ἐφαρμόζειν τὸ δυὰς ὄνομα, ὅτι τε καὶ πλείονας δύσεις ἐκ πάντων τῶν ἁπλανῶν δέχεται, καὶ ὅτι ἐδυάσθη καὶ ἐδιχοτομήθη· ἡμίτομος γὰρ καὶ διχότομος λέγεται.

γ'. Περὶ τριάδος.

Ὅτι ἡ τριὰς ἐξαίρετόν τι παρὰ πάντας τοὺς ἀριθμοὺς κάλλος εἴληχε καὶ εὐπρέπειαν, πρῶτον μὲν τὰς τῆς μονάδος δυνάμεις ἐνεργοὺς πρωτίστη παρασχοῦσα, περισσότητα, πλειότητα, ἀναλογίαν, ἕνωσιν, πέρας· περισσὸς μὲν γὰρ κατ' ἐνέργειαν πρῶτος

ὁ γ', ἀκολούθως ταῖς ὀνομασίαις περίϊσος ὢν καὶ πλέον τι τοῦ ἴσου ἐν ἑτέρῳ μέρει ἔχων, ἐξαιρέτως δὲ τῷ ταῖς δυσὶν ἀρχαῖς συνεχὴς καὶ σύστημά γε ἀμφοῖν ὑπάρχειν· τέλειός γε μὴν ἰδιαίτερον τῶν ἄλλων ἐστίν, ὅτι οἱ ἀπὸ μονάδος ἑφεξῆς ἴσοι εὑρίσκονται μέχρι τετράδος· λέγω δὲ οἷον μονάδος, δυάδος, τριάδος, δεκάδος· ἡ μὲν γὰρ μονὰς ὡς πυθμὴν μονάδι ἴση, ἡ δὲ τριὰς μονάδι καὶ δυάδι, δεκὰς δὲ μονάδι, δυάδι, τριάδι, τετράδι· πλέον οὖν τι ἡ τριὰς ἔχειν φαίνεται τῷ συνεχὴς εἶναι τούτοις, οἷς καὶ ἴση ὑπάρχει. Καὶ γὰρ ἐκ τοῦ τοιούτου μεσότητα καὶ ἀναλογίαν αὐτὴν προσηγόρευον, οὐκ ἐπειδὴ πρωτίστη μὲν τῶν ἀριθμῶν μέσον εἴληχε, μονωτάτη δὲ τὸ αὐτὸ ἴσον τοῖς ἄκροις, ἀλλ' ὅτι κατ' εἰκόνα τῆς γενικῆς ἰσότητος, μέσης τοῦ μείζονος καὶ ἐλάττονος ἀνισότητος εἰδῶν ὑπαρχούσης, καὶ αὕτη τοῦ πλείονος καὶ ὀλιγωτέρου ἀνὰ μέσον θεωρεῖται, συμμέτρου φύσιν ἔχουσα· ὁ μὲν γὰρ πρὸ αὐτῆς ὁ δύο πλείων τοῦ πρώτου τοῦ ὑπόπροσθεν ὑπάρχει, καὶ ῥίζα γε τῆς πυθμενικῆς τοῦ μείζονος σχέσεως· διπλάσιος γάρ· ὁ δὲ μετ' αὐτὴν ὁ δ' ἐλάττων τοῦ ἁ, β', γ', καὶ γὰρ στ' τοῦ ὑπόπροσθεν, καὶ πρώτιστον γε τῆς πυθμενικῆς τοῦ ἐλάσσονος σχέσεως εἶδος· ὑφημιόλιος γάρ· αὕτη δὲ μεταξὺ ἀμφοῖν ἴση τῆς ὑπόπροσθεν. Εἰδοποιὸς ἄρα μεσότης τοῖς ἄλλοις· ἔνθεν τρεῖς μὲν δι' αὐτὴν αἱ ὀρθαὶ λεγόμεναι μεσότητες, ἀριθμητική, γεωμετρική, ἁρμονική· τρεῖς δὲ αἱ ταύταις ὑπεναντίαι, τρεῖς δὲ οἱ καθ' ἑκάστην ὅροι, τρία δὲ διαστήματα, τουτέστιν, αἱ ἐν ἑκάστῳ ὅρῳ διαφοραὶ μικροῦ πρὸς μέσον καὶ μέσου πρὸς μέγα, σχέσεις τε ἰσάριθμοι αἱ κατὰ τὰ λεχθέντα ἐν προλόγων τάξει, ἄλλαι δὲ τρεῖς ἀναστροφαὶ ἐξεταζόμεναι μεγάλου πρὸς μικρόν, μεγάλου πρὸς μέσον, μέσου πρὸς μικρόν. Ὅτι ἡ μὲν μονὰς τοῦ παντὸς ἀριθμοῦ λόγον ἀδιατύπωτον, ἔτι καὶ ἀδιάρθρωτον ὡς ἐν σπέρματι ἐν ἑαυτῇ ἔχει, ἡ δυὰς δὲ βραχεῖά τις

ἐπ' ἀριθμὸν προχώρησις, οὐκ ἄντικρυς δὲ τοιαύτη διὰ τὸ ἀρχοειδές, ἡ τριὰς δὲ τὴν τῆς μονάδος δύναμιν εἰς ἐνέργειαν καὶ ἐπέκτασιν προχωρεῖν ποιεῖ· καὶ μονάδος μὲν τὸ τόδε, δυάδος δὲ τὸ ἑκάτερον, τριάδος δὲ τὸ ἕκαστον· διὸ καὶ εἰς πλήθους ἔμφασιν τῇ τριάδι χρώμεθα, τρὶς μύριοι λέγοντες ἀντὶ τοῦ πολλάκις πολλοί, καὶ τρισόλβιοι· διὸ καὶ τὰς τῶν νεκρῶν ἀνακλήσεις τρὶς εἰθίσαμεν ποιεῖσθαι. Ἔτι δὲ καὶ πᾶσα οὐσία διέξοδον ἔχουσα φυσικὴν ὅρους ἔχει τρεῖς, ἀρχήν, ἀκμήν, τελευτήν,
16 οἷον πέρατα καὶ μέσον, διαστήματα δέ, οἷον αὔξησιν καὶ φθίσιν, ὥστε τὴν μὲν δυάδος φύσιν καὶ τὸ ἑκάτερον ἐμφαίνεσθαι τῇ τριάδι τῶν περάτων. Ὅτι ἡ τριὰς εὐβουλία καλεῖται καὶ φρόνησις, οἷα τῶν ἀνθρώπων τά τε παρόντα διορθούντων τά τε μέλλοντα προορωμένων καὶ ἐκ τῶν ἤδη γεγονότων λαμβανόντων πεῖραν· τῶν ἄρα τριῶν τοῦ χρόνου μερῶν ἐποπτική πως ἡ φρόνησις· ὥστε καὶ ἡ γνῶσις κατὰ τὴν τριάδα. Ὅτι τὴν τριάδα εὐσέβειαν καλοῦσι· διὸ καὶ τριὰς ὠνομάσθη παρὰ τὸ τρεῖν, τὸ δεδοικέναι καὶ εὐλαβεῖσθαι.

Ἀνατολίου.

Ὅτι ὁ τρία πρῶτος περισσὸς καλεῖται ὑπ' ἐνίων τέλειος, ὅτι πρῶτος τὰ πάντα σημαίνεται ἀρχὴν καὶ μέσον καὶ τέλος. Τὰ ἑξαίσια ἀπὸ ταύτης σεμνύνοντες καλοῦσι τρισολβίους, τρισμάκαρας· εὐχαὶ καὶ σπονδαὶ τρὶς γίνονται. Εἰκών ἐστιν ἐπιπέδου καὶ πρώτου, ὑπόστασις ἐν τριγώνοις· τρία γὰρ αὐτῶν γένη ἰσόπλευρον, ἰσοσκελές, σκαληνόν· ἔτι γωνίαι εὐθύγραμμοι τρεῖς, ὀξεῖα, ἀμβλεῖα, ὀρθή· χρόνου μέρη τρία. Εἴκαζον δὲ αὐτὴν ἐν ἀρεταῖς σωφροσύνῃ· συμμετρία γὰρ αὕτη μεταξὺ ὑπεροχῆς καὶ ἐλλείψεως. Ἔτι ἡ τριὰς ἐκ μονάδος καὶ δυάδος καὶ ἑαυτῆς τὸν ἓξ ποιεῖ κατὰ σύνθεσιν, ὅς ἐστι πρῶτος τέλειος ἀριθμός.

Νικομάχου Θεολογούμενα.

Ὅτι ἀρχὴ κατ' ἐνέργειαν ἀριθμοῦ ἡ τριὰς μονάδων συστήματι ὁριζομένου· μονὰς μὲν γὰρ τρόπον τινὰ ἡ δυὰς διὰ τὸ ἀρχοειδές, σύστημα δὲ μονάδος καὶ δυάδος ἡ τριὰς πρώτη· ἀλλὰ καὶ τέλους καὶ μέσου καὶ ἀρχῆς πρωτίστη ἐπιδεκτική, δι' ὧν 17
τελειότης περαίνεται πᾶσα. Εἶδος τῆς τῶν ὅλων τελεσιουργίας καὶ ὡς ἀληθῶς ἀριθμὸς ἡ τριάς, ἰσότητά τινα καὶ στέρησιν τοῦ πλείονος καὶ ἐλάττονος τοῖς ὅλοις παρέσχεν, ὁρίσασα τὴν ὕλην καὶ μορφώσασα ποιοτήτων πᾶσι δυνάμεσιν. Ἴδιον γοῦν καὶ ἐξαίρετον ἔχει παρὰ τοὺς ἄλλους ἀριθμοὺς ὁ τρία τὸ τοῦ πρὸ αὐτοῦ ἴσος εἶναι. Τρὶς δὲ καὶ σπένδουσι καὶ τρὶς ἐπιθύουσιν οἱ τελειωθῆναι τὰς ἑαυτῶν εὐχὰς αἰτοῦντες παρὰ θεοῦ· τρισμακαρίους τε καὶ τριζευδαίμονας καὶ τριζολβίους, τρίς τε τὰ ἐναντία φαμέν, ὅσοις τέλειον ἕκαστον τούτων ὡσανεὶ πάρεστιν. Ὅτι ὠνομάσθαι καὶ ταύτην τριάδα φασὶ παρὰ τὸ ἀτειρής τις εἶναι καὶ ἀκαταπόνητος· οὕτω δὲ λέγεται διὰ τὸ μὴ δύνασθαι αὐτὴν εἰς δύο ἴσα διαιρεῖσθαι. Ὅτι πρῶτον πλῆθος ἡ τριάς· ἐνικὰ γὰρ καὶ δυϊκὰ λέγομεν, εἶτ' οὐκέτι τρισσικά, ἀλλὰ πληθυντικὰ ἰδίως. Ὅτι καὶ ἐν τῇ τοῦ ἀριθμοῦ φύσει ἡ τριὰς διατείνει· περιττοῦ μὲν γὰρ εἴδη τρία, τὸ μὲν πρῶτον καὶ ἀσύνθετον, τὸ δὲ δεύτερον καὶ σύνθετον, τὸ δὲ μικτόν, τὸ πρὸς αὐτὸ μὲν δεύτερον, πρὸς δὲ ἄλλο πρῶτον· πάλιν δὲ τὸ μὲν ὑπερτελές, τὸ δὲ ἀτελές, τὸ δὲ ἴσον. Τῇ γεωμετρίᾳ προσφυέστατόν ἐστιν ἡ τριάς· τὸ γὰρ ἐν ἐπιπέδοις στοιχειωδέστατόν ἐστι τρίγωνον, καὶ τούτου εἴδη τρία, ὀξυγώνιον, ἀμβλυγώνιον, σκαληνόν. Τρεῖς τε τῆς σελήνης οἱ σχηματισμοί, αὔξησις, πανσέληνος καὶ μινύθησις· τρεῖς δὲ καὶ οἱ τῆς ἀνωμαλίας τρόποι, πρόποδισμός, ἀναποδισμὸς καὶ ὁ μεταξὺ αὐτῶν στηριγμός. Καὶ τρεῖς οἱ τὸ ζωδιακὸν

πλάτος ὁρίζοντες κύκλοι, θερινός τε καὶ χειμερινὸς καὶ ὁ ἀνὰ μέσον τούτων ὁ λεγόμενος ἐκλειπτικός. Καὶ τρία μὲν εἴδη ζώων πεζόν, πτηνόν, ἔνυδρον. Τρεῖς δὲ καὶ αἱ Μοῖραι θεολογοῦνται, ὅτι καὶ ἡ σύμπασα διεξαγωγὴ θείων τε καὶ θνητῶν ἔκ τε προέσεως καὶ ὑποδοχῆς καὶ τρίτον ἀνταποδόσεως κρατύνεται, σπερμαινόντων μὲν τρόπον τινὰ τῶν αἰθερίων, ὑποδεχομένων δὲ ὡσανεὶ τῶν περιγείων, ἀν-
18 ταποδόσεως δὲ διὰ τῶν ἀναμέσων τελουμένων, ὥσπερ ἐγγόνου τινὸς μεταξὺ ἄῤῥενος καὶ θήλεος. Καὶ τὸ παρ' Ὁμήρῳ δὲ ἁρμόσοι τις ἂν τούτοις τριχθὰ γὰρ πάντα δέδασται. Πάνυ καὶ τὰς ἀρετὰς εὑρίσκομεν δύο κακιῶν, ἀλλήλαις τε καὶ ἀρετῇ ἀντικειμένων, μέσας, καὶ συνάδει ὁ λόγος, κατὰ μὲν μονάδα ὡρισμένον τι καὶ γνωστὸν καὶ φρόνιμον τὰς ἀρετὰς εἶναι· τὸ γὰρ μέσον ἕν· κατὰ δὲ δυάδα ἀόριστον καὶ ἄγνωστον καὶ ἄφρον, τὰς κακίας. Ἔτι γε μὴν καὶ φιλίαν καὶ εἰρήνην καὶ προσέτι ἁρμονίαν τε καὶ ὁμόνοιαν προσαγορεύουσιν· ἐναντίων γὰρ καὶ οὐχ ὁμοίων συναπτικὰ καὶ ἑνωτικὰ ταῦτα· διὸ καὶ γάμον αὐτὴν καλοῦσι. Τρεῖς δὲ καὶ αἱ ἡλικίαι.

δ'. Περὶ τετράδος.

Ὅτι ἐν τῇ μέχρι τῆς τετράδος φυσικῇ ἐπαυξήσει πάντα συντελούμενα φαίνεται τὰ ἐν τῷ κόσμῳ, καθόλου καὶ κατὰ μέρος, καὶ τὰ ἐν ἀριθμῷ, ἐν πάσαις ἁπλαῖς φύσεσιν· ἐξαίρετον δὲ καὶ πρὸς τὴν ἐφάρμοσιν τοῦ ἀποτελέσματος μάλιστα συντείνον τὸ τὴν δεκάδα ὑπ' αὐτῆς ἅμα τοῖς ὑπόπροσθεν συγκορυφοῦσθαι γνώμονα καὶ συνοχὴν ὑπάρχουσαν· ἀλλὰ καὶ τὸ τὴν σωμάτωσιν καὶ τὴν ἐπιτρία διάστασιν μέχρις αὐτῆς πέρας ἴσχειν· τὸ γὰρ ἐλάχιστον καὶ πρωτοφανέστατον ἅμα πυραμὶς ἐν τετράδι ὁρᾶται εἴτε γωνιῶν εἴτε ἐπιπέδων· ὥσπερ καὶ τὸ ἐξ ὕλης καὶ εἴδους αἰσθητόν, ὃ ἐστιν ἀποτέλεσμα τριχῇ

διαστατόν, ἐν τέσσαρσι ὅροις ἐστίν. Καὶ μὴν καὶ
τῆς ἐν τοῖς οὖσιν ἀληθείας τὴν κατάληψιν τήν τε
βεβαίαν καὶ τὴν ἐπιστημονικὴν ἐπίγνωσιν ποιεῖσθαι
διὰ τῶν τεσσάρων μαθημάτων βέλτιον καὶ ἀπται-
στότερον· τῶν γὰρ ὄντων ἁπλῶς ἁπάντων ἐν μὲν πα-
ραθέσει καὶ σωρείᾳ τῷ πόσῳ ὑπαγομένων, ἐν δὲ
ἑνώσει καὶ ἀλληλουχίᾳ τῷ πηλίκῳ, καὶ τῶν ἐν πο-
σότητι ἤτοι καθ' ἑαυτὰ νοουμένων ἢ πρός τι, τῶν
δὲ ἐν πηλικότητι ἢ ἐν μονῇ ἢ ἐν κινήσει, τέτταρες
ἀνάλογον μαθηματικαὶ μέθοδοι καὶ ἐπιστῆμαι τὴν 19
κατάληψιν ἑκάστην ἑκάστῃ κατ' οἰκειότητα ποιήσον-
ται, ποσοῦ μὲν κειμένη ἡ ἀριθμητική, ἰδιαίτερον
δὲ περὶ τοῦ καθ' αὑτό, τοῦ δὲ πρὸς ἕτερον ἤδη καὶ
μουσική, πηλίκου δὲ κοινῶς μὲν γεωμετρία, ἰδιαί-
τερον δὲ τοῦ ἑστῶτος, τοῦ δὲ ἐν κινήσει ἤδη καὶ εὐ-
τάκτῳ μεταβάσει σφαιρική. Εἰ δὲ τῶν ὄντων εἶδος
ὁ ἀριθμός, ἀριθμοῦ δὲ τὰ ῥιζώματα καὶ οἱονεὶ
στοιχεῖα οἱ μέχρις τετράδος ὅροι, εἴη ἂν ἐν τούτοις
τὰ προλεχθέντα ἰδιώματα καὶ αἱ τῶν τεσσάρων ἐπι-
στημῶν ἐμφάσεις, ἀριθμητικῆς μὲν ἐν μονάδι,
μουσικῆς δὲ ἐν δυάδι, γεωμετρίας δὲ ἐν τριάδι,
σφαιρικῆς δὲ ἐν τετράδι, καθὼς ἐν τῷ δηλουμένῳ
περὶ θεῶν συγγράμματι ὁ Πυθαγόρας οὕτως διορί-
ζεται. Τέσσαρες μὲν καὶ σοφίας ἐπιβάθραι, ἀρι-
θμητική, μουσική, γεωμετρία, σφαιρική, ἀ, β,
γ, δ τεταγμέναι. Καὶ Κλεινίας δὲ ὁ Ταραντῖνος·
ταῦτα γὰρ ἄρα μένοντα μέν, φησίν, ἀρι-
θμητικὴν καὶ γεωμετρίαν ἐγέννασεν,
ἐκκινηθέντα δὲ ἁρμονίαν καὶ ἀστρονο-
μίαν. Κατὰ μὲν ῥὴν τὴν μονάδα καὶ ἀριθμητικὴ
εἰκότως θεωρεῖται πρῶτον· συναναιρεῖ γὰρ τὰς ἄλ-
λας ἑαυτῇ καὶ συνεπιφέρεται δὲ ἐκείναις, οὐκ ἔμπα-
λιν δέ, ὥστε ἀρχεγονωτέρα καὶ μήτηρ αὐτῶν, καθὰ
καὶ ἡ μονὰς πρὸς τοὺς μετ' αὐτὴν ἀριθμοὺς ἔχουσα
φαίνεται. Ἄλλα καὶ ἀριθμοῦ πᾶν εἶδος καὶ πᾶν
ἰδίωμα καὶ παρακολούθημα ἐν τῇ μονάδι πρώτιστα

ὡς ἐν σπέρματι ὁρᾶται· ἔστι γὰρ ποσόν τι ἡ μονὰς καὶ καθ' ἑαυτὸ δὲ θεωρούμενον καὶ μονώτατον περαῖνον καὶ ἀληθῶς ὁρίζον· σὺν γὰρ ἑτέρῳ μόνον οὐκ ἄν ποτε εἴη τι, κατὰ δὲ τὴν δυάδα· ἑτερότητος γὰρ πρωτίστη ἔννοια ἐν δυάδι· πρὸς ἕτερον δέ πως ἡ μουσικὴ φαίνεται σχέσις πως οὖσα καὶ ἁρμονία τῶν ἀνομοίων πάντη καὶ ἐν ἑτερότητι· κατὰ δὲ τὴν τριάδα γεωμετρική, οὐ μόνον ὅτι περὶ τὸ τριχῇ διαστατὸν καὶ τὰ τούτου κατασχολεῖται μέρη καὶ εἴδη, ἀλλ' ὅτι καὶ ἴδιον τοῦ διδασκάλου τούτου, τὰς ἐπιφανείας, ἃς δὴ χροιὰς ἔφασκον, γεωμετρίαν περαίνουσαν ὀνομάζειν εἶναι, ὡς δὴ τῆς γεωμετρίας περὶ τὸ ἐπίπεδον πρώτιστα διαγινομένης, ἐπιπέδων δὲ τοῦ στοιχειωδεστάτου ἐν τριάδι ἤτοι γωνιῶν ἢ πλευρῶν, ἀφ' οὗ ὡς ἀπό τινος βάσεως ὡς ἐπὶ ἕν τι σημεῖον βάθους προαγομένου πάλιν σωμάτων τὸ στοιχειωδέστατον πυραμὶς συνίσταται ὑπὸ τεσσάρων τριῶν ἐλαχίστων ἤτοι γωνιῶν ἢ ἐπιπέδων, καὶ αὐτὴ περιεχομένη τρισὶν ἴσοις διαστήμασι καθαρμοσθεῖσα, μεθ' ἃ οὐκέτι ἄλλο ἐν τῷ σώματι ὑπόκειται φύσει. Καὶ ἡ σφαιρικὴ τῇ τετράδι ἐφαρμόζεται: σωμάτων γὰρ πάντων τελειότατόν τε καὶ τῶν ἄλλων μάλιστα περιεκτικώτατον φύσει καὶ μυρίοις ὑπερφέρον τί ἐστιν ἡ σφαῖρα, τεσσάρων περιοχή τις οὖσα, κέντρου, διαμέτρου, περιφερείας, ἐμβαδοῦ, ὅ ἐστιν, ἀντιτυπίας. Τοιαύτης δὲ οὔσης, ἐπώμνυον δὲ αὐτῆς τὸν Πυθαγόραν οἱ ἄνδρες, θαυμάζοντες δηλονότι καὶ ἀνευφημοῦντες ἐπὶ τῇ εὑρέσει, καθά που καὶ Ἐμπεδοκλῆς·

Οὐ μὰ τὸν ἀμετέρᾳ γενεῇ παραδόντα τετρακτύν,
Παγὰν ἀενάου φύσιος ῥίζωμά τ' ἔχουσαν.

Ἀένναον γὰρ φύσιν τὴν δεκάδα ᾠήθησαν τὴν οἱονεὶ κύριον καὶ αἰώνιον τῶν ὅλων φύσιν καὶ εἰδῶν ὑπάρ-

χουσαν, καθ' ἣν συνεπληρώθη καὶ πέρας τὸ ἁρμόζον καὶ περικαλλέστατον ἔσχε. τὰ ἐν πόσμῳ· ῥιζώματα δ' αὐτῆς τὰ μέχρι τετράδος ά, β', γ', δ'· πέρατα γὰρ ταῦτα καὶ οἱονεὶ ἀρχαί τινες τῶν ἀριθμοῦ ἰδιωμάτων, μονὰς μὲν ταυτοῦ καθ' αὑτὸ νουμένου, δυὰς δὲ ἑτέρου καὶ τοῦ ἤδη πρὸς ἄλλο, τριὰς δὲ ἑκάστου τε καὶ περισσοῦ τοῦ κατ' ἐνέργειαν, τετρὰς δὲ τοῦ ἐνεργείᾳ ἀρτίου· περισσοειδὴς γὰρ πολλάκις ἡμῖν ὤφθη ἡ δυάς, διὰ τὸ ἀρχοειδὲς (ω τῶν ἀρτίου πεθωρῶν ἰδιωμάτων ἐπιδεκτικὴ οὖσα, οὐδὲ τῶν ὑποδιαιρέσιων. Ὅτι ἐν πρώτῃ τετράδι σωμάτωσις ἐλαχίστη καὶ ἀσπερματικωτάτη, εἴπερ καὶ στοιχειωδέστατον τῶν σωμάτων καὶ μεπρομερέστερόν ἐστι τὸ πῦρ, αὐτοῦ δὲ τούτου σχῆμα ὡς σώματος πυραμὶς φερώνυμος, διὰ τοῦτο ὑπὸ τεσσάρων τε βάσεων καὶ ὑπὸ τεσσάρων γωνιῶν μόνη περιπλειομένη ἐστί· 21
καὶπεῖθεν, πεισθείημεν ἄν, τέσσαρες ἀρχαὶ τοῦ κόσμου, εἴτε ὡς ἀϊδίου ἀνοχῆς εἴτε ὡς γενητῆς συστάσεως προελήφθη, ὑφ' οὗ, ἐξ οὗ, δι' ὅ καὶ πρὸς ὅ· θεὸς ἄρα καὶ ὕλη καὶ εἶδος καὶ ἀποτέλεσμα. Ὅτι γὰρ καὶ τὰ τέσσαρα στοιχεῖα πῦρ, ἀήρ, ὕδωρ, γῆ, καὶ αἱ τούτων δυνάμεις θερμόν, ψυχρόν, ὑγρόν, ξηρόν, κατὰ τὴν τετράδος φύσιν ἐν τοῖς οὖσι διατέτακται, δῆλον. Καὶ τὰ οὐράνια δὲ κατὰ ταύτην διανεμόμενα· τέτρασι γὰρ κέντροις, τῷ ὑπὲρ κορυφῆς, τῷ κατὰ ἀνατολήν, τῷ πρὸς ὀρθὰς ὑπὸ γῆν, τῷ πρὸς δύσιν· ἃ δὴ καὶ ζωδιακὸς ἀπ' ἀλλήλων τέτταρα φαίνεται, καὶ ἕτερος τοῖς τέτρασι πέρασιν, ἀρκτικῷ, ἀνταρκτικῷ, ἑῴῳ καὶ ἑσπερίῳ, εἴς τε τὸν τῆς σφαιρώσεως αὐτῆς λόγον, κέντρῳ, ἄξονι, περιφερείᾳ, ἐμβαδῷ· ἀλλὰ καὶ τὰ λεγόμενα ἐννενήκοντα μόρια τοῦ ζωδιακοῦ, ἃ τμήματα κατὰ δύο τοῦ ἐλλειπτικοῦ καὶ δύο τῶν τροπικῶν φαίνει, θερινοῦ, χειμερινοῦ, ἰσημερινοῦ δίς, πεχιασμένως κατὰ διάμετρον τοσαῦθ' ὑπάρχει· αἵ τε ἐν ἀλλήλαις καὶ δι' ἀλλήλων ἐξαιρέτως μόνῳ συμβεβηκυῖαι οὐρανῷ πρ-

νήσεις τέσσαρες αἱ γενικαί, πρόσω μὲν διὰ τοῦ κυδ' ἕκαστον κλίμα μεσουρανήματος, ἔνω δὲ διὰ τοῦ ἀναφερομένου ὑπὲρ τὸν ὁρίζοντα, κάτω δὲ διὰ τοῦ δυομένου. Τέσσαρες δὲ καὶ αἱ λεγόμεναι ὧραι τοῦ ἔτους, ἔαρ, θέρος, μετόπωρον, χειμών. Τέσσαρα δὲ καὶ τὰ τῆς καθολικῆς κινήσεως σχεδὸν μέτρα, ὧν τὸ μέγιστον καὶ διηνεκὲς αἰὼν ἐκλήθη, τὸ δὲ καθ' αὑτὸ καὶ κατ' ἐπίνοιαν εὐληπτὸν χρόνος, τὸ δὲ ἔτι ὑποβεβηκὸς καὶ τρόπον τινὰ ἐν καταλήψει αἰσθητῇ ἡμῖν πεφυκὸς καιρός, τὸ δὲ βραχυτάτης διαστάσεως καὶ παρεκτάσεως μετέχον ὥρα καὶ ἕτερος ἔτους, μήν, νύξ, ἡμέρα. Τούτοις δ' ἀνάλογα καὶ κατὰ τὴν κοσμικὴν συμπλήρωσιν, ἄγγελοι, δαίμονες, ζῶα, φυτά, συμπληροῖ τὸ πᾶν. Τέσσαρσι δὲ τρόποις καὶ αὐτὰς τὰς κινήσεις διακρίνουσι, προποδισμῷ, ἀναποδισμῷ, στηριγμοῖς δυσί, προτέρῳ καὶ δευ-
22 τέρῳ. Καὶ ἐν τοῖς ζώοις δὲ αἰσθήσεις τέσσαρες ὡρισμέναι καταλαμβάνονται, τῆς ἁφῆς ὑποβεβλημένης ἁπάσαις, καὶ διὰ τοῦτο τόπον ἢ ὄργανον μόνης εὐτακτον οὐκ ἐχούσης. Καὶ φυτῶν δὲ τὰ μὲν δένδρα, τὰ δὲ θάμνοι, τὰ δὲ λάχανα, τὰ δὲ πόαι. Καὶ γένη δὲ ἀρετῶν τέσσαρα, φρόνησις μὲν πρώτη τῆς ψυχῆς, κατ' αὐτὴν δὲ εὐαισθησία σώματος καὶ εὐτυχία ἐν τοῖς ἐκτός, δευτέρα σωφροσύνη περὶ ψυχήν, ὑγεία δὲ περὶ σῶμα, εὐδοξία δὲ ἐν τοῖς ἐκτός, τρίτη δὲ κατὰ τὴν αὐτὴν τάξιν ἀνδρεία, ἰσχύς, δυναστεία, καὶ τετάρτη δικαιοσύνη, κάλλος, φιλία. Καὶ μὴν καὶ ὧραι, ὥσπερ ἔτους, οὕτω δὴ καὶ ἀνθρώπου τέσσαρες, παῖς, νεανίας, ἀνήρ, γέρων. Ἀλλὰ καὶ τὰ ἐν ἀριθμῷ στοιχειωδέστατα ἰδιώματα τέσσαρα, ταὐτὸν ἐν μονάδι, ἕτερον ἐν δυάδι, χροιὰ ἐν τριάδι, σῶμα ἐν τετράδι. Ὅτι καὶ ὁ ἄνθρωπος εἰς τέσσαρα διαιρεῖται, παραλήν, θώρακα, πόδας καὶ χεῖρας. Καὶ τέσσαρες ἀρχαὶ τοῦ ζώου τοῦ λογικοῦ, ὥσπερ καὶ Φιλόλαος ἐν τῷ περὶ φύσεως λέγει, ἐγκέφαλος, καρδία, ὀμφαλός, αἰδοῖον· κεφαλὴ

μὲν νόου, καρδία δὲ ψυχῆς καὶ αἰσθήσεως, ὀμφαλὸς δὲ ἁφῆς καὶ ἀναφύσεως τοῦ πρώτου, εἰδοῖον δὲ σπέρματος καὶ καταβολῆς τε καὶ γενέσεως, ἐχμὲ φαλὸς δὲ τῶν ἀνθρώπων ἀρχή, καρδία δὲ πάντων ζώων, ὀμφαλὸς δὲ καὶ φυτῶν, εἰδοῖον δὲ τῶν ἐμπαντὸς πάντα γὰρ καὶ ἁμιλλοῦσι καὶ ὀλαστάνουσιν. Ὅτι εἰ καὶ πλῆθος ἐν τριάδι πρῶτον ὤφθη, ἀλλ' οὖν οὔπω ἀπὸ μονάδος ἐπινοηθῆναι ἄνευ τετράδος δύνατον, ἵνα δὴ καὶ ἡ πυρομὶς φύσει ἐν ἀλληλουχουμένοις λοιβαῖσι τὸ δυσδιάλυτον σχῆμα δυσδιαλύτου σώματος πλήθους δὲ ἐπίτασις ὁ σωρός πως καὶ βεβαιότερον ἢ κατὰ τὴν τριάδα. Ἀμέλει κατὰ τὸ Σόλωνος ἀποφθεγμα τὸ τέλος ὁρᾶν μακροῦ βίου δυνατὸν ἐνδέξασθαι παρὰ τῷ ποιητῇ τοὺς μὲν ἔτι ζῶντας τρὶς μάνδρᾳ ἐπ' εὐδαιμονίᾳ μακαριζομένους, ἀθλίου τοῦ τῆς μεταπτώσεως καὶ μεταβολῆς ἔτι ὑπάρχοντος, τοὺς δὲ τεθνεῶτας βεβαίως ἔχοντας τὸ εὐδαίμων καὶ μεταβολῆς ἐκτὸς τελειότερον τετράκις· λέγει γὰρ ἐπὶ τοῦ ζῶντος Τρὶς μάκαρ Ἀτρείδη μοῦνον, ἐπὶ δὲ τῶν ἄριστα μεταλλαχότων Τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις, οἳ τότ' ὄλοντο. Τὸ γὰρ κατὰ φύσιν πλῆθος καὶ σώρειαν παρασχεῖν δυνάμενον τοῦθ' ὑπάρχει, εἴπερ καὶ τελειότητος εἴδη τέσσαρα ἀνάλογα καὶ ὁμοταχῆ τέτρασι τελείοις ἀριθμοῖς, οἳ συνίστανται ἐντὸς δεκάδος ἴσης κατὰ πρόβασιν τοῖς ἀπὸ μονάδος συνεχέσιν, μέχρις ἂν εἰς τετράδα ἡ προκοπὴ ἔλθῃ· πρῶτον μὲν γὰρ ἄνευ συνιζήσεως αὐτὴ ἡ μονὰς τελειότητος τρόπον τινὰ ἔχουσα ἐν τῷ πᾶν τ' ἔχειν δυνάμει ἐν ἑαυτῇ καὶ μηδενὸς προσδεῖσθαι· παρεκτικὴ δὲ ἄλλως καὶ εἰδοποιὸς ὑπάρχει τοῖς ἄλλοις ἅπασι κατὰ πάσας διαφορῶν παραλλαγάς· εἰ γὰρ καὶ ἔστι τι τέλειον εἶδος τὸ τοῖς ἑαυτοῦ μέρεσιν ἴσον, μέρος δὲ ἡ μονὰς οὐκ ἔχει, ὅλη δέ ἐστιν ἑαυτῇ ἴση, τελεία ἂν καὶ αὐτὴ εἴη·

δεύτερον δὲ μονάδι καὶ δυάδι ἴση καὶ συνεχὴς γε ἐξαιρέτως ἡ τριάς, ἄλλως οὖσα καὶ αὐτὴ τελεία, ὅτι ἀρχὴν καὶ μέσον καὶ τέλος μονὰς αὕτη ἔχει· τρίτον δὲ τὸ ἓν δύο καὶ τρία, οὐκέτι συνεχὴς ἡ ἑξὰς ἴση ὑπάρχει τρόπῳ τινὶ τελεία· τοῖς γὰρ ἑαυτῆς μέρεσιν ἴση πρώτη ὑπάρχει, ἡμίσει, τρίτῳ, ἕκτῃ· τέταρτον δὲ τὸ ἁ, β, γ, δ, ἡ δεκὰς πολὺ μᾶλλον οὐ συνεχής, τὴν τελειότητα ἑτέρῳ τινὶ παρὰ τούτους τοὺς τρόπους κεκτημένη· μέρον γὰρ καὶ τέλειος ὅρος παντὸς αὕτη ἀριθμοῦ· καὶ οὐκέτι μετ' αὐτὴν οὐδεὶς φυσικῶς, ἀλλὰ πάντες δευτερεύοντες καὶ ἐπ' ἄπειρον παλινδρομοῦντες κατὰ μετοχὴν αὐτῆς. Τετράκτυς ἄρα τις καὶ ἡ τῶν ἐντὸς δεκάδος τελείων αὕτη διαφορά· μή τι καὶ τούτου χάριν μέγισται μὲν καὶ ἀγαπητὲ τελειότεραι περιόδοι τριταῖαί τε καὶ τεταρταῖαι καὶ εὐσηπόταται τυγχάνουσι· μείζων δὲ καὶ βεβαιοτέρα καὶ διὰ τοῦτο καὶ εὐεπονεπτοτέρα ἡ τεταρταία διὰ τὴν τοῦ τέσσαρα ἀριθμοῦ ἕδραιότητα πάντα πυραμικῶς καταλαμβανομένην εἰς εὐ-
24 υπαθεῖς βάσεις. Διὸ καὶ τὸν Ἡρακλέα τοιοῦτον ἑπλινῆ γεγονότα τετράδι γεννᾶσθαί φασιν. Τετράγωνοι δὲ καὶ οἷον οὐκ εὐσεισταὶ ἐν τῷ καταφρονεῖν κατὰ τὰ αὐτὰ τῷ τοιούτῳ ἀναπλασσομένῳ Ἑρμῇ. Ἐπεὶ δὲ μονάδος ἀνὰ μέσον καὶ ἑβδομάδος κυβικῶν χωρίων κύβος ὁ δ, εἰκότως κρισίμου μάλιστα τῆς ἑβδομάδος ἐν τοῖς ἀρρωστήμασιν οὔσης, ἐπιγλότερον οἱ ἰατροί, καθάπερ Ἱπποκράτης, τὴν τετράδα λέγουσι κοινωνοῦσαν ὀλοσχερέστερόν πως τῇ ἑβδομάδι ἐν τῇ διὰ πάντων ἐνεργείᾳ, εἴτε καὶ ἄλλως συναπτομένη τῇ ἑβδομάδι δεκάδα ἀποτελεῖ, τετάρτην κυβικῆς τετράτης χώρας παρεκτικήν. Ὅτι Ἀπόλλωνι φύσιν κατωνόμαζον τὴν τετράδα, τὸ ποικίλον ἐμφαίνοντες τῆς οἰκειότητος. Καὶ ὅτι οὐκ ἄνευ ταύτης ἡ καθολικὴ διακόσμησις· διὸ καὶ κλειδοῦχόν τινα τῆς φύσεως αὐτὴν πανταχοῦ ἐπωνόμαζον. Τὸν Αἴσωπον δέ φησιν ἡ ποίησις σφαιρι-

κοὺς ἐκπορίζειν ἀνέμους, ὡς καὶ Ἱπποτίδης προσηγορεύθη ἀπὸ τῆς ταχύτητος τῶν ἐπιτελούντων αὐτὸν ἄστρων, καὶ διὰ τοῦ ἀδιαλείπτου δρόμου· ἔστι γὰρ Αἴολος ὁ ἐπιαυτὸς διὰ τὴν τῶν περὶ αὐτὸν φυομένων ποικιλίαν. Πάλιν δὲ Ἡρακλέα παρὰ τὴν αὐτὴν τοῦ ἔτους ἔννοιαν τὴν τετράδα καλοῦσι, χρονιότητος οὖσαν παρεκτικήν, ἥπερ αἰών, χρόνος, καιρός, ὥρα, ἔτι μήν, ὥρα, νύξ, ὄρθρος, μεσημβρία, ἑσπέρα, νύξ. Ὅτι τετράδα κατ' ἐναλλαγὴν τοῦ λ καὶ τοῦ ρ τετλάδα νομίζουσιν εἰρῆσθαι τὴν ὑπομείνασαν, καθάπερ ἡ αὐτῆς πλευρά, τὴν πρώτην ἀπὸ μονάδος ἀπόστασιν· τὰς γὰρ πάσας ἀποστάσεις ἤτοι τὰς τρεῖς ἀπέστη, ἂν περαιτέρω οὐκέτι εἰσίν. Ἐτίμων δὲ αὐτὴν οἱ Πυθαγόρειοι, ὡς δεκάδος γεννητικήν. Καλεῖται δὲ αὐτή, ὥς φησιν ὁ Ἀνατόλιος, δικαιοσύνη, ἐπεὶ τὸ τετράγωνον τὸ ἀπ' αὐτῆς, τουτέστι, τὸ ἐμβαδὸν τῇ περιμέτρῳ ἴσον· τῶν μὲν γὰρ πρὸ αὐτῆς ἡ παράμετρος τοῦ ἐμβαδοῦ τοῦ τετραγώνου μείζων, τῶν δὲ μετ' αὐτὴν ἡ περίμετρος τοῦ ἐμβαδοῦ ἐλάττων, ἐπ' αὐτῆς δὲ ἴση. Πρώτη ἡ τετρὰς ἔδειξε τὴν τοῦ στερεοῦ φύσιν· σημεῖον γάρ, εἶτα γραμμή, εἶτα ἐπιφάνεια, εἶτα στερεόν, ὅ τι σῶμα· πρῶτος ἀρτιάκις ἄρτιος, πρῶτος ἐπίτριτος τῆς πρώτης ἁρμονίας τῆς διὰ τεσσάρων, ἴσα πάντα ἐπ' αὐτοῦ, ἐμβαδῶν γωνίαι, πλευραί. Κλίματα τέσσαρα, σημεῖα τέσσαρα, ἀνατολικόν, δῦνον, μεσουράνημα, ὑπὸ γῆν καὶ ὑπὲρ γῆν· ἄνεμοι τέσσαρες. Ἄλλοι τὰ ὅλα διακοσμηθῆναί φασιν ἐκ τεσσάρων, οὐσίας, σχήματος, εἴδους, λόγου. Οὐ μόνον δὲ τὸν τοῦ σώματος ἐπέχει λόγον τετράς, ἀλλὰ καὶ τὸν τῆς ψυχῆς· ὡς γὰρ τὸν ὅλον κόσμον φασὶ κατὰ ἁρμονίαν διοικεῖσθαι, οὕτω καὶ τὸ ζῷον ψυχοῦσθαι. Δοκεῖ δὲ καὶ τελεία ἁρμονία ἐν τρισὶ συμφωνίαις ὑφεστάναι, τῇ διὰ τεσσάρων, ἥτις ἐν ἐπιτρίτῳ κεῖται λόγῳ, τῇ διὰ πέντε ἐν ἡμιολίῳ, τῇ διὰ πασῶν ἐν διπλασίῳ. Ὄντων δὲ 25

ἀριθμῶν τεσσάρων τῶν πρώτων α, β, γ, δ, ἐν τούτοις καὶ ἡ τῆς ψυχῆς ἰδέα περιέχεται κατὰ τὸν ἐναρμόνιον λόγον· ὁ μὲν γὰρ δ τοῦ β καὶ ὁ β τοῦ πρώτου διπλασίων, ἐν ᾧ κεῖται ἡ διὰ πασῶν συμφωνία, ὁ δὲ γ τοῦ β ἡμιόλιος, περιέχων αὐτὸν καὶ τὸ ἥμισυ, ἐν ᾧ ἡ διὰ πέντε συμφωνία, ὁ δὲ δ τοῦ τρίτου ἐπίτριτος, ἐν ᾧ ἡ διὰ τεσσάρων συμφωνία· εἰ δὲ ἐν τῇ δ ἀριθμῷ τὸ πᾶν κεῖται ἐκ ψυχῆς καὶ σώματος, ἀληθὲς ἄρα καί, ὅτι αἱ συμφωνίαι πᾶσαι κατ' αὐτὸν τελειοῦνται.

ε'. Περὶ πεντάδος.

Ὅτι ἡ πεντὰς πρώτη περιέλαβε τὸ τοῦ παντὸς ἀριθμοῦ εἶδος, ἤτοι τὸν β τὸν πρῶτον ἄρτιον καὶ τὸν γ τὸν πρῶτον περιττόν· διὸ καὶ γάμος καλεῖται ὡς ἐξ ἄῤῥενος καὶ θήλεος. Κέντρον ἐστὶ τῆς δεκάδος. Τετραγωνιζομένη ἀεὶ περιέχει ἑαυτήν· πεντάκις γὰρ πέντε κε, μηκυνομένη δὲ αὐτὴ καὶ τὸν τετράγωνον ἄλλον περιέχει καὶ λήγει εἰς ἑαυτήν· πεντάκις γὰρ κε ρε. Σχήματα στερεὰ ἰσόπλευρα καὶ ἰσόγωνα πέντε, τετράεδρον, ὃ ἐστι πυραμίς, ὀκτά-
26 εδρον, εἰκοσάεδρον, κύβος· τὸ μὲν πυρὸς σχῆμά φησιν ὁ Πλάτων, τὸ δὲ ἀέρος, τὸ δὲ ὕδατος, τὸ δὲ γῆς, τὸ δὲ παντός. Ὅτι οἱ πλανώμενοι πέντε ἐντὸς ἡλίου καὶ σελήνης. Τὸ ἀπὸ τοῦ ε πρῶτον τετράγωνον ἴσον δυσὶ τετραγώνοις τῷ τε ἀπὸ τῶν γ καὶ τῷ ἀπὸ τῶν δ. Λέγεται τετράχορδος ἐκ πρώτου ἀρτίου εἶναι καὶ πρώτου περισσοῦ, μετὰ τὸν ἑνοεῖται συμφωνία γεωμετρική. Ἔτι καθ' ὁποιανοῦν σύνθεσιν τῶν δέκα συνθήσεις, μέσος εὑρεθήσεταί ὁ ε κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν, οἷον θ καὶ α, ἡ καὶ β, ζ καὶ γ, στ καὶ δ· ἐξ ἑκάστης γὰρ συνθέσεως ὁ ι ἀποτελεῖται καὶ μέσος ὁ ε κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν, ὡς δηλοῖ τὸ διάγραμμα. Ὅτι ἡ πεντὰς πρώτη μεσότητος τῆς ἀρίστης καὶ φυσικωτάτης ἐμφαντικὴ κατὰ διάζευξιν

ἀμφοτέροις πέρασι τοῦ φυσικοῦ ἀριθμοῦ, μονάδι μὲν ὡς ἀρχῇ, δεκάδι δὲ ὡς τέλει συνεζευγμένῃ τῇ δυάδι, ὥσπερ ἓν πρὸς δύο, οὕτω ὁ πρὸς ἰ, καὶ ἀνάπαλιν ὡς δέκα πρὸς ἑ, οὕτω β πρὸς ἀ, ἐναλλάξ πως ὡς ἰ πρὸς β, ὁ πρὸς ἀ, καὶ ὡς β πρὸς ἰ, ἀ πρὸς ὁ· τό τε ὑπὸ τῶν ἄκρων ἴσον τῷ ὑπὸ τῶν μέσων ἀναλούθως τῇ γεωμετρικῇ ἀναλογίᾳ· τὸ γὰρ δὶς ἑ ἴσον τῷ ἅπαξ ἰ. Ὅτε δὲ ἄρχεται μὲν ἀπὸ μονάδος, τελεοῦται δὲ ὁ ἀριθμὸς εἰς ἰ, λεχθήσεται προϊοῦσα· Ἀντιπεπονθότως ἄρα τὸν τοῦ ἡμίσους λόγον ἐν πρωτίστῃ τῇ πεντάδι πρὸς τὸ μεῖζον ἄκρον ἔχρμεν ἰδεῖν, καθάπερ ἐν τῇ δυάδι πρὸς τὸ ἔλαττον· διπλάσια μὲν γὰρ τοῦ ἀ τὰ β, ἡμίσεια δὲ τοῦ ἰ τὰ ὁ. Διόπερ μάλιστα συλληπτικὴ τῶν ἐν κοσμικῇ φύσει φαινομένων. Ὅτε ἄρα κατὰ μὲν τὴν δεκάδα ὁ πᾶς κόσμος ἥνυται καὶ κατακέκλεισται, ἐφάνη πολλάκις ἡμῖν λόγος, κατὰ δὲ τὴν μονάδα ἐρριζῶσθαι, καὶ κίνησιν μὲν κατὰ δυάδα ἐσχηκέναι, φύσιν δὲ ζωότητος κατὰ πεντάδα, οὖσαν ἄλλην καὶ πρόσχαστάτως καὶ μόνον μέρος τῆς δεκάδος· ὅπερ αὐτῷ μὲν τὸ ἀντίζυγον ἀναγκαίως ἀκολουθεῖ, τὸ δὲ ὁμώνυμον τῇ δυάδι. Πέντε οὖν καὶ τὰ καθόλου στοιχεῖα τοῦ παντός, γῆ, ὕδωρ, ἀήρ, πῦρ, αἰθήρ. Πέντε δὲ 27
καὶ τὰ τούτων σχήματα, τετράεδρον, ἑξάεδρον, ὀκτάεδρον, δωδεκάεδρον, εἰκοσάεδρον, ὧν ἡ συγκρύφωσις πάλιν τῶν βάσεων εἰς τὸν πεντάδος διπλασιάζεται λόγον. Πέντε δὲ καὶ οἱ παράλληλοι κατὰ τὸν οὐρανὸν κύκλοι, ἰσημερινὸς καὶ οἱ παρ' ἑκάτερα τούτου τροπικοί, θερινὸς καὶ χειμερινός· ἀλλήλοις μὲν ἴσοι, δεύτεροι δὲ τῇ τοῦ μεγέθους συμμετρίᾳ, καὶ τούτων ἐφ' ἑκατέρωθεν τὸ ἅξαρμα καὶ τὸ ἀντέξαρμα ὁρίζοντες, ἀρκτικός τε καὶ ἀνταρκτικός, σμικρότατοι μὲν τῷ μεγέθει, ἀλλήλοις μέντοι καὶ αὐτοὶ ἴσοι. Ὧν ἀναλόγως τῇ θέσει πέντε καὶ ἐπὶ γῆς ζῶναι ἐπινοοῦνται, πεκαιμένη μὲν ἰσημερινῇ, εὔκρατοι δὲ δύο τροπικοῖς ὑπκῇ, ἄσαι δὲ αἱ ἀοίκητοι

ὑπὸ κρύους τῶν παρ' ἑκάτερα πόλων. Καὶ σελήνης φάσεις ὡς ἐπίπαν τοσαῦται, διχότομοι δύο, ἀμφίκυρτοι δύο, πλησίφως μία· τινὲς δὲ ἀποβέστερον. ἐστὶ τῶν δύο διχοτόμων μηνοειδεῖς δύο τάσσουσι τῷ ἀριθμῷ τῶν φάσεων· τὸ γὰρ διχότομον οὐχ ὡς ἀληθῶς συμβαίνειν τῇ σελήνῃ τότε, ὅτε νομίζεται, ἀλλὰ μόνον φαίνεσθαι, κατὰ γραμμικὴν δὲ ἀπόδειξιν πλεῖον δὴ πέντως εἶναι τοῦ φαινομένου τὸ περιστεμένον, ἔλαττον δὲ τὸ ἀφώτιστον, εἴπερ τῆς ἡλιακῆς ἀφαίρας μικροτέρα ἡ σεληνιακή· τῆς δὲ τοιαύτης πλέον ἀεὶ τοῦ ἡμίσους λάμπεται, ἵνα καὶ τὸ ἀποφέρον αὐτῆς σκίασμα κανοειδὲς ἀποτελῆται, τὸ δὲ ἐπὶ θάτερα ἐντεκβαλλόμενον ἐπ' εὐθὺ τῶν τοῦ κώνου εὐθειῶν καλαθοειδὲς σχῆμα ἢ κοινὴν δὲ ἀμφοῖν βάσιν ἡ τὸ περιστεμένον καὶ ἀφώτιστον διορίζουσα κυκλικὴ γραμμὴ περιγράφει. Πέντε δὲ καὶ τῶν τὰ κοσμικὰ κέντρα ἀποτελούσῶν εὐθειῶν ψαύσεις· δῆλον γάρ, ὅτι διάμετροί εἰσιν αὗται δύο, αἵπερ καὶ μέγισται πρὸς ὀρθὰς ἀλλήλας τέμνουσαι· ἑαυτῶν οὖν καὶ τῆς οὐρανίας σφαίρας πολλαχῇ ψαύουσι, καὶ ἑαυτῶν μὲν κατὰ κοσμικὸν κέντρον, τῆς δὲ σφαίρας κατὰ ταῦτα τὰ ὀνομασθέντα κέντρα. Αἰσθητήρια τὰ τῶν τελειοτέρων ὕδη ζώων τοσαῦτα,
28 κατὰ συγγένειαν καὶ ὁμοίαν τάξιν καὶ ὑπόβασιν τοῖς στοιχείοις. Ἡ δὲ φύσις διὰ τοῦτο πενταχῇ τῶν ἡμετέρων μερῶν ἔπαστα κατὰ τὰ ἄκρα διέκρινε, ποδῶν λέγω καὶ χειρῶν εἰς δακτύλους. Πέντε δὲ καὶ σπλάγχνων εἴδη, πεφροί, πνεύμων, ἧπαρ, σπλήν, καρδία. Πέντε δὲ καὶ τῶν κατ' ἐπιφάνειαν ὁλοσχερῶς ὡρωμένων μορίων εἴδη, κεφαλή, χεῖρες, θώραξ, αἰδοῖα, πόδες. Πέντε δὲ καὶ ζώων γένη, ἐμπύρων, ἐναερίων, ἐγγείων, ἐνύδρων, ἀμφιβίων. Ὅτι καὶ ἀνεκλείαν προσηγόρευον τὴν πεντάδα, οὐ μόνον, ἐπειδὴ τὸ πέμπτον καὶ κατ' αὐτὸ τεταγμένον στοιχεῖον ὁ αἰθὴρ κατὰ ταυτὰ καὶ ὡσαύτως ἔχων διατελεῖ, νείκους καὶ μεταβολῆς ἐν τοῖς ὑπ' αὐτὸν

ὑπαρχόντων ἀπὸ σελήνης μέχρι γῆς, ἀλλ' ὅτι τὰ πρώτιστα διαφέροντα καὶ οὐχ ὅμοια τοῦ ἀριθμοῦ δύο εἴδη, ἄρτιον καὶ περιττόν, αὐτὸς ὡσανεὶ ἐφιλίωσε καὶ συνήρτησε, σύστημα τῆς αὐτῶν γενόμενος συνόδου, καθάπερ καὶ ὁ αἰθὴρ ἑαυτοῦ τε φίλος θεατελεῖ σχήματι καὶ οὐσίᾳ, καὶ τοῖς ὁμοίως τοῖς τε ἄλλοις ἅπασι τοῦ τοιούτου παρεκτικὸς εὑρίσκεται, παντοίαν περὶ τὰς δύο ἀρχὰς ἐπιδεδειγμένος ἐναντρότητα. Διὰ τοῦτο καὶ Μάγιλλος ἐν τῷ περὶ ἀριθμῶν οὕτως αὐτὴν σεμνύνων φησίν· ἡ δὲ πεντὰς ἀλλοίωσις, φάος, ἀνεκύκλ· ἀλλοίωσις μέν, ὅτι τριχῇ διαστατὸν εἰς ταυτότητα τῆς σφαίρας ἤμειψε, κυκλικῶς κινήσασα καὶ φάος ἐνεργασαμένη, διόπερ καὶ φάος· ἀνακύκλ δὲ παρὰ τὴν πάντων προδεστώτων σύστασιν καὶ ἕνωσιν καὶ διὰ τὴν τῶν δύο εἰδῶν σύνοδον καὶ φίλωσιν. Ὅτι τῆς δικαιοσύνης ἐμφαντικωτάτη ἡ πεντάς, δικαιοσύνη δὲ πασῶν τῶν ἀρετῶν περιεκτική· ἡ γὰρ τὸ προσῆκον ἀποδιδοῦσα ἑκάστῃ καὶ τὴν ἐν τῇ ψυχῇ ἰσότητα κρατύνουσα αὕτη ἂν εἴη· ἰσότης δὲ ψυχῆς περὶ τὸ λογικὸν μόνον, ἀνισότης δὲ περὶ τὸ ἄλογον, ὅπερ ἐπιεικὲς δὲ καὶ πειθόμενον τῷ λόγῳ· ἀλλὰ τὸ μὲν ἴσον ἀποικίλον· ἑνὶ γὰρ τρόπῳ ἴσον· τὸ δὲ ἄνισον ποικιλώτατον· κατὰ πολλοὺς γὰρ τρόπους ἄνισον· καὶ 29
τά γε πρώτιστα αὐτοῦ εἴδη δύο ἐστί, μεῖζόν τε καὶ ἔλαττον. Καὶ τῆς ψυχῆς ἄρα τὸ μὲν ἴσον ἔσται, τὸ δὲ ἄνισον· ἴσον μὲν τὸ θεῖον καὶ λογικόν, ἄνισον δὲ τὸ θνητόν τε καὶ ἄλογον· αὐτοῦ δὲ τούτου μεῖζον μὲν τὸ θυμοειδές· ὑπέρζεσις γάρ ἐστι καὶ ὥσπερ ἀποθέσεως τοῦ περιττεύοντος ἔφεσις· ἔλαττον δὲ τὸ ἐπιθυμητικόν· ἐνδεὲς γὰρ τῇ τοῦ ἐλλείποντος ὀρέξει· ἀλλ' ὑπὸ τοῦ λογικοῦ κρατηθέντα πάντα καὶ ἰσότητος δὲ αὐτὸ μετασχόντα ἀρετὰς κτᾶται, τὸ μὲν θυμοειδὲς ἀνδρείαν, τὸ δὲ ἐπιθυμητικὸν σωφροσύνην. Εἰ τις τοίνυν ἀριθμὸς ἰσάκις ἴσος ἐστίν, οὕτως δι-

καιοσύνης εἰδοποιὸς καὶ ἐπιδεκτικὸν ἂν εἴη· πᾶν δὲ τετράγωνος ἰσάκις ἴσος ὑπάρχει, ἀλλ' οὐ πᾶς μεσότητος δεκτικός, ἀλλὰ μόνος δηλονότι, ὃς ἂν περισσος εἴη· καθόλου γὰρ ἀρτίου ἀριθμοῦ μεσότης οὐ φαίνεται, περισσοῦ δὲ προσεχέστατος καὶ οἰκειότατος ἂν εἴη ὁ πυθμήν, ἐξ καὶ τῶν αὐτοῦ λόγων ἐπιδεκτικὸς ὁ μετ' αὐτόν. Ἐπιστημονικὰ δὲ καὶ φιλόσοφοι ἀποδείξεις ἀεὶ τοῖς πυθμέσιν ἐλαχίστοις ἔτι καὶ ἀπ... ποστοις... ἐπιχρῶνται καὶ ἐναρῶσιν ἐν αὐτοῖς ὡς ἐν παραδείγμασί τισι τὰ ὁμοιότατα τῶν ὁμογενῶν, οἷον διπλασίων μὲν ἀπείρων φύσεων ὄντων, ἐν δυάδι μᾶλλον πρὸς μονάδα, ἡμιολίων δὲ ἐν τριάδι πρὸς δυάδα· ὥστε ἡ τῆς δικαιοσύνης ἔννοια καὶ φύσις ἐν ἰσάκις ἴσῳ δεικνυμένη ἀριθμῷ, τουτέστι, ἐν τῇ τετραγώνῳ, ἐν ἀρτίῳ μὲν οὐκ ὀρθῶς δειχθείη ἂν μεσότητος ἀμοιροῦντι, ἀλλ' ἐν περισσῷ δηλονότι καὶ τῶν περιττῶν ἐν πυθμενικωτάτῳ καὶ οἱανεὶ σπέρματι τῶν ἄλλων διὰ τὸ ἐπιστημικὸν ἐν ἄρα πρωτίστῳ τῷ θ'· οὗτος γὰρ καὶ ὁπὸ πρώτου περισσοῦ ἀριθμοῦ τοῦ γ' πυθμὴν τετράγωνος συνίσταται, τρὶς τρία ὤν, πλευρισμοῦ μεσότητα πρῶτον ἔχοντος, τετράγωνος καὶ αὐτὸς μεσότητα πρῶτος ἔχων. Τούτοις ἄρα ἐπιχειρητέον ἁρμόζειν τὸν περὶ δικαιοσύνης λόγον ἀκολούθως τῷ Πυθαγορικῷ περὶ δικαιοσύνης ὅρῳ, ὃς ἐστι δύναμις ἀποδόσεως τοῦ ἴσου καὶ τοῦ προσήκοντος, ἐμπεριεχομένη ἀριθμοῦ τετραγώνου περισσοῦ μεσότητι. Πρῶτον δὲ ἐνθετέον στοιχηδὸν τοὺς μέχρι τούτων ἀριθμοὺς ἀπὸ μονάδος ἑξῆς, α, β, γ, δ, ε, στ, ζ, η, θ· εἶτα συγκεφαλαιωτέον τὴν πάντων ὁμοῦ ποσότητα· καὶ ἐπεὶ ἐννεάχορος ὁ στίχος, τὸν ἔννατον τοῦ συγκεφαλαιώματος ζητητέον, εἴτι φύσει πάρεστιν ἤδη τῶν ἐν τῷ στίχῳ ἀριθμῶν· εὑρήσομεν γὰρ αὐτῇ τῇ μεσάτῃ τοῦτο πρᾶον μόνῃ· πάντως γάρ ἐστιν ἄλλο μήτε πλέον μήτε ἔλασσον ἔχουσά τι· καὶ τοῖς λοιποῖς περισσοπ-

τική τοιούτου αὐτὴ φανήσεται, ὡς ἄν τις δικαιοσύνη οὖσα κατ' εἰκόνα τοῦ ὀργάνου τοῦ ζυγικοῦ· εἰ γὰρ τὸν στίχον ὑποθοίμεθα τοιοῦτον . . . ζυγικὸν τήν τε μεσότητα τὸν ἑ ἀριθμὸν τὸ τρῆμα εἶναι τὸ τῆς ἀορτῆς· κατερρέποντα μὲν πάντα (διὸ πλῆθος ἔσται) τὰ πρὸς τῇ ἐννεάδι ἀπὸ ἑξάδος μέρη, ἀναρρέποντα δὲ τὰ πρὸς τῇ μονάδι ἀπὸ τετράδος δι' ὀλιγότητα, τριπλάσια δὲ πλεονεκτοῦντα τῶν πλεονεκτουμένων σύνολα συνόλων, αὐτὴν δὲ τὴν ἑ, ὥςπερ τὸ τυῦ πήχεως τρῆμα, μηδετέρου μετέχουσαν, ἀλλ' ἰσότητα μόνον καὶ ταυτότητα· κατὰ βραχὺ δὲ τὰ γειτνιῶντα αὐτῇ καὶ ἐγγυτέρω γινόμενα ἔλαττον ἀεὶ καὶ ἔλαττον πλεονεκτοῦντά τε καὶ πλεονεκτούμενα, ὥςπερ τὴν ἀπὸ τῶν ζυγικῶν πλαστίγγων κατὰ μικρὸν ὑποβαίνοντα τοῦ πήχεως ὡς πρὸς τὴν . . . μήκιστον γὰρ ἀφέστηκεν ἡ ἐννεὰς καὶ μονάς, διὸ καὶ πλείστῳ πλεονεκτεῖ μὲν ἐννεάς, πλεονεκτεῖται δὲ μονὰς τετράδι ὅλῃ· βραχὺ δὲ τούτων ἐνδοτέρω ὀγδοὰς καὶ δυάς, διὸ καὶ βραχὺ ἐλάττονι, πλέον μὲν ὀγδοὰς, ἔλαττον δὲ δυὰς ἔχει· τριάδα γάρ· εἶθ' ἑξῆς τούτοις ἑβδομάς τε καὶ τριάς, διὰ τοῦτο τῇ ἑξῆς ποσότητι ἐλαττοῦται μὲν τριάς, πλεονάζει δὲ ἑβδομάς· δυάδα γὰρ ἐνδοτέρω· ἐνδοτέρω δὲ τούτων καὶ προσεχῶς τῇ πεντάδι, ὡσανεὶ τῇ ἀορτῇ, τετρὰς τε καὶ ἑξὰς τῷ ἐλαχίστῳ πλεονεκτοῦσα· ἐλάττων γὰρ τούτου ἀριθμὸς οὐκέτι νοεῖται. Ἀναρτωμένου δὲ τοῦ πήχεως, τὰ μὲν πλέον ἔχοντα πλεονεκτοῦσαν καὶ τὴν πρὸς αὐτὴν γωνίαν ἀπεργάζεται καὶ τὴν ἑαυτοῦ πρὸς τὴν 51
ἀορτήν, τὰ δὲ ἔλαττον ὀλιγεκτοῦσαν καθ' ἑκάτερον· πλεονεκτοῦσα δὲ γωνία ἡ ἀμβλεῖά ἐστι, τὸν ἰσάκατον λόγον τῆς ὀρθῆς ἐχούσης. Ἐπεὶ δὲ ἐπ' ἴσης μὲν ἐν ἀδικίᾳ οἵ τε ἀδικούμενοι οἵ τε ἀδικοῦντες ὡς ἐν ἀνισότητι, ἐπ' ἴσης τό τε μεῖζον τό τε ἔλαττον, ἀδικώτεροι ὅμως οἱ ἀδικοῦντες τῶν ἀδικουμένων· οἱ μὲν γὰρ κολάσεως, οἱ δὲ ἐπιτιμήσεως καὶ βοηθείας δέονται. Τὰ κατὰ ἀμβλείαν ἄρα ἀφιστάμενα γωνίαν

παρά τε τῷ ζυγῷ καὶ ἐν τῷ ἀριθμητικῷ ὑποδείγματε πλέον ἀποστήσεται τοῦ μέσου, ὅπερ ἐστί, τῆς δικαιοσύνης, μᾶλλον ἀεὶ καὶ μᾶλλον· τοῦτ' ἔστι τὰ πλεονεκτοῦντα· προσδραμεῖται δὲ καὶ προσέτι καὶ ἔτι ἀεὶ τὰ κατὰ ὀξεῖαν καὶ οἱονεὶ ἀδικούμενα ἀεὶ ἐν τῷ πλεονεκτεῖσθαι, τὰ μὲν κάτω καὶ εἰς βόθρον καὶ εἰς κακίας βαπτισμὸν οἰχήσεται, τὰ δὲ ἄνω καὶ ὡς εἰς θεὸν προσφεύγοντα ἀναῤῥέψει τιμωρίας καὶ ἀπισώσεως δεόμενα. Εἰ γοῦν δεήσει σὺν παντὶ τῷ πήχει τῷ ἀριθμητικῷ ἐκθέματι τοῦτο ἰσότητα ἐγγενέσθαι, πάλιν τὸ τοιοῦτον κατὰ πεντάδος μετοχὴν ὡσανεὶ δικαιοσύνης τινὸς οὔσης μηχανηθήσεται· ἤτοι γὰρ τὰ ἀπὸ τῶν πλεονεκτούντων τεταγμένα πέμπτα ἀφαιρεθέντα αὐτῶν εἰ προστεθείη τοῖς πλεονεκτουμένοις, τὸ ζητούμενον ἀπεργάζεται· εἶτα κατὰ διορισμὸν καὶ ἀντιπεπονθυῖαν διαστολὴν τὴν πεντάδα ἀπὸ μὲν τοῦ μήκιστον ἀφεστῶτος πλεονέκτου τοῦ αὐτοῦ ἑκατέρου μέρους ἐλάχιστον ἀπέχον πλεονεκτούμενον· ὃ ἔδει τὸ ἓν πρὸς ἀπίσωσιν ἀπολαβεῖν, ἀπὸ δὲ τοῦ ἡ τὸ ἀ, ὃ προσθήκη τῷ β' ἔσται, ἀπὸ δὲ τοῦ ζ' τὸ β', ὃ τῷ γ' πρόσκειται, ἀπὸ δὲ τοῦ στ' τὸ ἀ, ὅ ἐστι τῷ δ' προσθήκη εἰς ἀπίσωσιν, καὶ πάντα ἐπ' ἴσης, τά τε κολασθέντα ὡς πλεονεκτικὰ καὶ τὰ ἐπανορθωθέντα ἀπισώσει ὡς ἠδικημένα ὁμοιωθήσεται τῇ τῆς δικαιοσύνης μεσάνητι· ἀνὰ ἓ γὰρ ἅπαντα ἔσται· . . . . . γὰρ αὕτη ἀναφαίρετός τε καὶ ἀπρόσθετος διαμένει, ὡς ἂν μήτε πλέον μήτε
32 ἔλαττον, ἀλλὰ καὶ τὸ προσῆκον καὶ ἐπιβάλλον φύσει μόνη ἔχουσα. Καὶ τῷ σχήματι δὲ οἱ τοὺς τῶν γραμμάτων χαρακτῆρας προτυπώσαντες· ἐπεὶ τὸ θ' τοῦ ἐννέα σημαντικὸν ὑπάρχει, μεσότης δὲ αὐτοῦ ὡς τετραγώνου τὸ ε, τὸ δὲ μέσον ἐν ἑκάστῳ σχεδὸν κατὰ τὸ ἥμισυ ὁρᾶται, ἥμισυ τοῦ θ' γράμματος τυποῦσθαι τὸ ε ἐπενόησαν, ὡς διχοτόμημα τοῦ θ', καθὰ καὶ τὸ τοῦ ὁ. Τούτῳ δὴ τῷ τρόπῳ τῆς δικαιοσύνης τῷ ε ἀριθμῷ δικαιότατα ἐνοφθείσης καὶ τῆς

τοῦ στίχου ἀριθμητικῆς εἰκόνος ζυγῷ τινὶ οὐκ ἀπιθάνως εἰκασθείσης, τὸ παράγγελμα τοῖς γνωρίμοις ἐν συμβόλου σχήματι ὁ Πυθαγόρας ἐνεποιήσατο ζυγὸν μὴ ὑπερβαίνειν, τουτέστι, δικαιοσύνην. Τριῶν δὲ ὄντων τῶν ζωοποιητικῶν κατὰ τοὺς φυσικοὺς μετὰ τὴν σωμάτωσιν, φατικοῦ, ψυχικοῦ, λογικοῦ, καὶ τοῦ μὲν λογικοῦ κατὰ τὴν ἑβδομάδα τασσομένου, τοῦ δὲ ψυχικοῦ κατὰ ἑξάδα, τὸ φυτικὸν ἀναγκαίως κατὰ τὴν πεντάδα πίπτει, ὥστε καὶ ἀκρότης τις ἡ ἐλαχίστη τῆς ζωότητος ἡ πεντάς· γενέσεων μὲν γὰρ ῥίζα πασῶν ἡ μονάς, κίνησις δὲ ἐφ' ἕν τι ἡ δυάς, ἐπὶ δὲ δεύτερον ἡ τριάς, ἐπὶ δὲ τρίτον καὶ τελειότερον ἡ τετρᾶς, ἐπὶ δὲ τὴν πάντη πρόσθεσιν καὶ αὔξησιν ἡ πεντὰς κατὰ τὴν φυσικὴν τῆς ψυχῆς ἕξιν, ᾗ εὐθὺς καὶ τὸ αἰσθητικὸν γενικὸν παρέσπαρται. Ὅτι Νέμεσιν καλοῦσι τὴν πεντάδα· νέμει γοῦν προσηκόντως τά τε οὐράνια καὶ θεῖα καὶ φυσικὰ στοιχεῖα τοῖς πέντε, τὰ πέντε σχήματα τοῦ κύκλου ταῖς φύσεσι ταῖς τε σεληνιακαῖς καὶ τῶν ἀστέρων τῶν λοιπῶν, ἑσπερίᾳ ἀνατολῇ, ἑσπερίᾳ δύσει, ἑῴᾳ ἀνατολῇ, ἑῴᾳ δύσει καὶ τῇ ἄνευ τούτων ἁπλῇ περιπολήσει· εἶτα τὰ κατὰ ἐπὶ κύκλον στηριγμοῖς δυσίν, ᾗ προποδισμῷ ᾗ ἀναπαδισμῷ, ὁμαλότητι μιᾷ τῇ κατὰ φύσιν· τοῖς τε φυτοῖς πενταμερὲς αὐτῶν τὸ ὁλοσχερὲς σύγκριμα· ῥίζα γὰρ καὶ πρέμνος καὶ φλοιὸς καὶ φύλλον καὶ καρπός· αἵ τε καταφοραὶ πέντε, ὕετοῦ, χιόνος, δρόσου, χαλάζης, πάχνης· ἀναφοραὶ πέντε, ἀτμός, καπνός, νέφος, ὁμίχλη καὶ ὁ λεγόμενος τυφὼν ἀνεμώδης, ὃν τινες στρόβιλον ὀνομάζουσι· διὰ τοῦτο καὶ πεντάδα 35
αὐτὴν ὠνομάσθαι, ὅτι κατ' αὐτὴν αἱ φοραὶ αὗται ἀναπέμπονται. Διὰ δὲ τὸ ἰσοῦν τὰ ἄνισα καὶ πρόνοιαν ὀνομάζουσι, καὶ Δίκην οἷον δίχασιν, καὶ Βουβάστειαν διὰ τὸ ἐν Βουβαστῷ τῆς Αἰγύπτου τιμᾶσθαι, καὶ Ἀφροδίτην διὰ τὸ ἐπιπλέκεσθαι ἀλλήλοις ἄῤῥενα καὶ θῆλυν ἀριθμόν. Κατὰ τὸν

αὐτὸν δὲ τρόπον καὶ Γαμηλία καὶ Ἀνδρογυνία καὶ ἡμίθεος, οὐ μόνον, ὅτι τοῦ δίκα θείου ὄντος ἡμίσεια ἔστιν, ἀλλὰ καί, ὅτι ἐν τῷ ἰδίῳ διαγράμματι ἐν τῷ κατὰ μέσον ἐνετέταπτο, καὶ δίδυμον, ὅτι τὴν δεκάδα διχάζει ἀδίχαστον ἑτέρως οὖσαν, ἄμβροτον δὲ καὶ Παλλάδα κατ' ἔμφασιν τῆς ἐ ὐσίας καλοῦσι, Καρδίαν δὲ κατ' εἰκόνα τῆς ἐν τοῖς ζώοις καρδίας μέσης τεταγμένης.

Ἐκ τοῦ περὶ πεντάδος λόγου δευτέρου τῆς ἀριθμητικῆς τοῦ Γερασηνοῦ Νικομάχου.

Οἱ ἄνθρωποι ὅταν μὲν ἀδικῶνται, θεοὺς εἶναι θέλουσιν· ὅταν δὲ ἀδικῶσιν, οὐ θέλουσι· διόπερ ἀδικοῦνται, ἵνα θεοὺς εἶναι θέλωσιν· εἰ γὰρ μὴ θέλουσιν εἶναι θεούς, οὐ διαμενοῦσιν· εἰ τοῦ διαμένειν οὖν ἀνθρώπους αἴτιον τὸ θέλειν εἶναι θεούς, θέλουσι δέ, ὅταν ἀδικῶνται, τὸ ἀδίκημά ἐστι μὲν κακόν, ἀλλ' ἐπισυμφέρον τι φύσεως· τὸ δὲ ἐπισυμφέρον τι φύσεως ἀγαθῶν ἔργα, φύσις δὲ ἀγαθή, ταὐτὸν καὶ πρόνοια. Τὰ πεπρωμένα ἄρα νοῖς ἀνθρώποις κατὰ πρόνοιαν γίνονται. Τὰς δὲ ἀφορμὰς εἰκὸς καὶ τούτου παρ' Ὁμήρου εἰληφέναι εἰπόντος·

Καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα,
Ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο,
Τρώων θ' ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων·
Εἶλκε δὲ μέσσα λαβών, ῥέπε δ' αἶσιμον ἦμαρ Ἀχαιῶν.
Αἱ μὲν Ἀχαιῶν κῆρες ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ἔζέσθην, Τρώων δὲ πρὸς οὐρανὸν εὐρὺν ἄερθεν,

στ'. Περὶ ἑξάδος Ἀνατολίου. 34

Ἡ ἑξὰς πρώτη τέλειος· τοῖς γὰρ αὐτῆς μέρεσιν ἀριθμεῖται στ', ἔχουσα τρία καὶ ἥμισυ· τετραγωνιζόμενος περιέχει ἑαυτόν· ἑξάκις γὰρ ἓξ ἐστ', κυβιζόμενος δὲ ἑαυτὸν τετράγωνον οὐκέτι τηρεῖ· ἑξάκις γὰρ ἐστ' σιστ', οὗτος δὲ τὸν μὲν ἓξ περιέχει, τὸν δὲ ἐστ' οὐκ ἔχει. Ἐξ ἀρτίου καὶ περισσοῦ τῶν πρώτων, ἄῤῥενος καὶ θήλεος, δυνάμει καὶ πολλαπλασιασμῷ γίνεται· διὸ καὶ ἀῤῥενόθηλυς καλεῖται. Ἔτι δὲ γάμος καλεῖται, ὅτι αὐτὸς τοῖς ἑαυτοῦ μέρεσίν ἐστιν ἴσος, γάμου δὲ ἔργον τὸ ὅμοια ποιεῖν τὰ ἔγγονα τοῖς γονεῦσι. Κατὰ ἑξάδα πρῶτον συνέστη ἡ ἁρμονικὴ μεσότης, ληφθέντος πρὸς τὸν στ' ἐπιτρίτου μὲν λόγου τοῦ ἡ, διπλασίου δὲ τοῦ γ'· τῷ γὰρ αὐτῷ μέρει ὁ στ' ὑπερέχει καὶ ὑπερέχεται τῶν ἄκρων· καὶ ἀριθμητικὴ δὲ μεσότης κατὰ τὸν στ', ληφθέντος πρὸς αὐτὸν ἡμιολίου μὲν λόγου τοῦ θ', διπλασίου δὲ τοῦ ιβ'· τῷ γὰρ αὐτῷ ἀριθμῷ τὰ θ' ὑπερέχει τῶν ἄκρων καὶ ὑπερέχεται, τῷ γ'. Ἔτι δὲ καὶ τὰ μέρη αὐτοῦ ἀναλογίαν τινὰ ἀριθμητικὴν ἔχει ἀ, β', γ'· ἔτι γεωμετρικὴ μεσότης ὁ στ' γ' στ' ιβ'. Ἔτι δὲ διαστάσεις σωμάτων ἓξ. Μετὰ δὲ τὴν πεντάδα τὸν στ' εὐθὺς ἀριθμὸν ἐναργεστέροις ἐσέμνυνον ἐγκωμίοις, ἐπιλογιζόμενοι δείγμασιν οὐκ
1 ἀμφιβόλοις, κατ' αὐτὴν ἐμψυχῶσθαι καὶ καθηρμόσθαι τὸν κόσμον, τυχεῖν τε ὁλότητος καὶ διαμονῆς ἐπιμελοῦς τε ὑγείας καὶ τὰ ζῶα καὶ τὰ φυτὰ συνόδῳ τε καὶ ἐπιγονῇ καὶ καλλονῇ καὶ ἀρετῇ, καὶ τῶν τοιούτων· ἐπεχείρουν δὲ οὕτως ἐπάγοντες· ἡ τῆς ἐξ ἀρχῆς ἀϊδίου ὅλη ἀκοσμία καὶ ὅσον ἐπ' αὐτῇ ἀμορφία στέρησίς τε πάντων ἁπλῶς τῶν τρανωτικῶν, κατά τε ποιὸν καὶ πόσον καὶ τὰς λοιπὰς κατηγορίας, ἀπ' ἀριθμοῦ ὡς κυριωτάτου καὶ τεχνικοῦ εἴδους ἐπρίθη καὶ διεκοσμήθη τρανώτατά τε καὶ ἐμμελοῦς ἐξαλλαγῆς καὶ ἀκολουθίας ἀκηράτου ἔτυχε μετασχοῦσα κατ' 35

ἔφεσιν καὶ ἀπόμαξιν τῶν ἀριθμοῦ ἰδιωμάτων. Ὁ δ' ἀριθμὸς αὐτὸς τὴν ἐπ' ἄπειρον χώρησιν εἰδοποιούμενος εὑρίσκεται δι' ἑξάδος κατὰ τελείας συνθέσεις· ἐπεὶ γὰρ τὸ μὲν πρῶτον τέλειον τὸ ἀρχὴν καὶ μέσον καὶ τέλος ἔχον, τὸ δὲ δεύτερον τὸ τοῖς ἰδίοις μέρεσιν ἴσον ἀπλεονέκτητον καὶ ἀνελλιπὲς ἐν τῇ πρὸς αὐτὰ ἀντεξετάσει, εὑρίσκεται δὲ τὸ μὲν πρῶτον ἐν τριάδι ὡς ἐν ῥίζῃ, τὸ δὲ δεύτερον ἐν ἑξάδι πυθμενικῶς, ἀλλὰ καὶ κατὰ συμβεβηκὸς τὸ μὲν τῆς τριάδος ἐν τῇ ἑξάδι· πάλιν γὰρ β' καὶ β' καὶ β' ἀρχὴ καὶ μέσον καὶ τέλος· τὸ δὲ τῆς ἑξάδος οὐκέτι ἐν τῇ τριάδι· ἐλλείπει γὰρ ἐν αὐτῇ τὰ μέρη πρὸς τὸ ὅλον· συμβεβηκὸς δ' εὑρίσκομεν κατὰ φύσιν καὶ οὐ θεμένων ἡμῶν τὰς κατὰ τριάδα ποσότητας, ἐν ἀριθμῶν συνθέσει ἑξαδικῶν εἰδοποίησιν ἐμποιούσας μέχρι ἀπείρου τῷ χύματι παντί· τὰς μὲν πρώτας αὐτῇ τῇ ἑξάδι ά, β', γ', τὰς δὲ δευτέρας πάλιν ἑξάδι, μονάδος μιᾶς κατὰ δευτεροδίαν εἰς τὸν ἑξῆς βαθμὸν μετιούσης, δ', έ, στ', τὰς δὲ μετὰ ταῦτα πάλιν ἑξάδι, δύο μονάδων δευτεροδουμένων, ζ', ή, θ', τριῶν δὲ καὶ τεττάρων καὶ ἑφεξῆς τῶν μετὰ ταῦτα τριάδων συγκεφαλαιουμένων ί, ιά, ιβ', καὶ ἐφ' ὁσονοῦν· ὥστε ἑξάδι φαίνεσθαι κατὰ τριάδος ἐξάρτησιν διατυπούμενον τὸν ἀριθμὸν σύμπαντα, διατυπωτικὸν φύσει καὶ αὐτὸν ὄντα τῆς ἐν τῇ ὕλῃ ἀμορφίας· εἶδος οὖν εἴδους οὐκ ἂν διαμάρτοιμεν αὐτὴν ἡγούμενοι. Τρόπον δ' ἕτερον διαρθρωτικὴ καὶ συντακτικὴ σώματος ψυχή, καθάπερ ψυχικὸν εἶδος ἀμόρφου ὕλης, τῇ δὲ ψυχῇ τὸ παράπαν οὐδεὶς ἐφαρμόζειν δύναται μᾶλλον ἑξάδος ἀριθμός, οὐκ ἄλλος ἂν οὕτω διάρθρωσις τοῦ παντὸς λέγοιτο, ψυχοποιὸς ἱστάμενος, εὑρισκομένη καὶ τῆς ζωτικῆς ἕξεως ἐμποιητική, παρὸ ἑξάς. Ὅτι μὲν ἁρμοστικὴ πᾶσα ψυχή, ἁρμονίας δὲ τὰ στοιχειωδέστατα σύμφωνα διαστήματα ἐπίτριτος καὶ ἡμιόλιος, ὧν κατὰ σύνθεσιν τὰ λοιπὰ
56 συμπληροῦται, φανερόν· παρούσης μὲν γὰρ αὐτῆς,

εἰρηνεύει καὶ εὐταπτεῖ καὶ βέλτιστα ἐνήρμοσται τὰ ἐγκεκριμένα τῷ ζώῳ ἐναντία, ὑπείκοντα καὶ ἀντακολουθοῦντα, καὶ διὰ τοῦτο ὑγείαν ἐμποιοῦσα τῷ συγκρίματι, θερμὸν ψυχρῷ, ὑγρὸν ξηρῷ, βαρὺ κούφῳ, πυκνὸν ἀραιῷ, καὶ τὰ ἑοικότα, ἃ χωρὶς ἁρμονίας τινὸς οὐκ ἂν συναναστρέφοιτο· συνυπάρχει γε μήν, ἐφ' ὅσον ψυχὴ πάρεστι, συναγωγὸς αὐτοῖς· ἐξελθούσης δ' αὐτῆς, διάλυσις τῶν ἐν τῷ ζώῳ πάντων καὶ λειποταξία συμβαίνει, εἰ δέ γε τὰς στοιχειώδεις τῆς ἁρμονίας λεχθείσας ἀρχὰς τό τε ἡμιόλιον καὶ ἐπίτριτον ἡμίσους τε ἔδει ἐξ ἀνάγκης (οὐ γὰρ ἄνευ τούτου ἡμιόλιον, οὐδὲ μὴν αὐτοῦ τούτου τὸ διὰ ε') καὶ τρίτου δέ· σὺν γὰρ τούτῳ πάντως τὸ ἐπίτριτον, σὺν ᾧ εὐθὺς τὸ διὰ δ'. Πρῶτος δὲ ἄλλων ὁ στ' ἀριθμὸς ὑπὸ τὸ αὐτὸ καὶ ἥμισυ καὶ τρίτον ἔχει, πλευραῖς διαφερούσαις χρησάμενος καὶ ἐναντίαις, τῇ μὲν δικαστῶν, τῇ δὲ τρικαστῶν, ῥίζῃ δυάδι καὶ τριάδι, ἵν', ὡς τῶν πάντῃ παρηλλαγμένων σύνοδος ἐγένετο, οὕτω καὶ τὰ πάντη διαφέροντα συνάγειν καὶ συνᾴδειν πεφύκῃ. Ἐπεὶ δὲ ἀναγκαίως, καθὼς προείπομεν, πρὸς τούτοις καὶ στερεὸν ἔδει καὶ σφαιρικόν γε τὸ τῆς ψυχῆς μέγιστον εἶδος, καὶ οὔτε ἀρσενικῶς μόνον στερεὸν οὔτε θηλυκῶς μόνον, ἀλλ' ἀμφοτέρων (κοινὴ γὰρ ἐπ' ἴσης ἀμφοτέρου γένους ἡ ψύχωσις), ἀρτιοπερίττου τε πρῶτος διὰ τοῦτο ὁ στ' λόγον ἔσχε φύσεως, καὶ τὸ κατ' αὐτὸν σφαιρικόν, ἀλλ' οὐ τὸ κατὰ πεντάδα, ψυχῇ πρεπωδέστερον ἐνομίσθη, ἅτε ἀρσενόθηλυ, τοῦ ἑ θάτερον μόνον εἶδος ἔχοντος. Ἥ τε τοῦ κύβου πάλιν φύσις οὐ μονοειδής, ἀλλὰ τριγενὴς κατὰ τὸν ἐξ φαντάζεται· τὸ γὰρ ἀπὸ ἑξάδος πλευρᾶς τετραγώνου συγκεφαλαίωμα ὑπάρχει, τοῦ τε δυνάμει ἀρτίου καὶ περιττοῦ, κύβου ἅμα καὶ τῶν κατ' ἐνέργειαν ἑκατέρων ἃ καὶ ἡ καὶ κζ' ὁ ἐστ', πρὸς ταύτῃ τῇ συνθέσει καὶ ἄλλην ἐμπεριέχων ἁρμονίαν· τοῦ γὰρ στ' καὶ ἡ καὶ φ' καὶ ιβ' καὶ τῆς κοινῆς ἀρχῆς, ὅ ἐστι, μονάδος 37

ἄθροισμα πάλιν ὑπάρχει, ἐν οἷς τὰ μουσικὰ διαστήματα μάλιστα τεχνολογεῖται, ὡς οἰκειότατος καθολικὴ ἁρμονία· τὸ μὲν διὰ πασῶν διπλάσιον ἐν τοῖς ἄκροις, τὸ δὲ διὰ ε ἡμιόλιον ἐν ἀμφοτέροις τοῖς μέσοις, παρὰ μέρος πρὸς ἄκρα ἑτέρου πρὸς ἕτερον τοῦ ιβ παρὰ τὸν μὴ συνεχῆ ἢ τοῦ η τοῦ θ, οὐ πρὸς τὸν ὄγδοον, ἀλλὰ πρὸς τὸν στ· τοῦ δὲ διὰ δ ἐπιτρίτου ἐν τοῖς αὐτοῖς πρὸς αὐτούς, ἀνάπαλιν μέντοι πρὸς τοὺς συνεχεῖς ἐξεταζομένου, ἀλλ' οὐ πρὸς τοὺς διαχεῖς ἢ πρὸς στ καὶ θ πρὸς ιβ. Ὅτι δὲ τούτων αἰτιωτάτη ἡ ἑξάς, δῆλον· σκοπὸς γὰρ αὕτη πᾶσιν ὑπέστη τὸν ὑπάτης τόπον ἔχουσα, καὶ ἀπ' αὐτῆς αἱ σύμπασαι ἀποστάσεις ἐπενοήθησαν. Εἰ δὲ καὶ φυσικωτέρᾳ ἐφόδῳ συντάττομεν τὴν τῆς ψυχῆς σύστασιν, πρὸς μὲν διχῇ διαστατόν, ἕκαστον δὲ διάστημα πεπερασμένον ἑκατέρωθεν ἡγούμενοι δεῖν εἶναι, δύο καθ' ἕκαστον ἐπενοήσομεν πέρατα, τριῶν δὲ ὄντων ἓξ ἀποτελεσθήσονται, δι' ἣν αἰτίαν καὶ αἱ λεγόμεναι σωματικαὶ περιστάσεις τοσαῦταὶ γίνονται, καθ' ἕκαστον διάστημα δύο θεωρούμεναι, ὥστε καθ' ἑξάδα καὶ οὕτως ὁ τῆς ψυχῆς κυβισμός, μή τι καὶ διὰ τοῦτο· ἔξ τε αἱ ὀρθαὶ λεγόμεναι μεσότητες, ἃς ἀναλογίας τινὲς καλοῦσι, καὶ τοσαῦται αἱ ἁπλαῖ τοῦ ἀνίσου σχέσεις, αἷς πάντα ἐφαρμόζεται τὰ συμμετρίαν καὶ ἀπίσωσιν ἐπιδεχόμενα ἔν τε τοῖς ἄλλοις καὶ ἐν αὐτῇ τῇ ψυχῇ ἄλογα μέρη· πρώτη γὰρ ἡ ἑξὰς πυθμενικωτάτη περιέσχεν ἀριθμητικὴν μεσότητα· εἰ γὰρ ἐκείνη μὲν ἐν ἐλαχίστῳ ἁ β γ φαίνεται (τούτων δὲ ἦν σύστημα ἡ ἑξάς), ἀναλογιῶν ἂν τὴν πρωτίστην δέχοιτο ἔμφασιν καὶ τὴν αὐτοῦ τοῦ ἀριθμοῦ εἰδοποίησιν, εἴπερ τε ἴδιον τῆς αὐτοῦ μεσότητος εἰς ταύτην συγκεφαλαιοῦται· ἀλλὰ καὶ σκαλμνοῦ ἡ πρωτίστη σωμάτωσις μέχρι αὐτῆς στερεοῦται ἁ β γ. Ὅτι τὴν ἑξάδα ὁλομέλειαν προσηγόρευον οἱ Πυθαγορικοὶ κατακολουθοῦντες Ὀρφεῖ, ἤτοι παρόσον ὅλη τοῖς μέλεσιν ἢ μέρεσιν ἴση ἐστὶ

μόνη τῶν ἐντὸς δεκάδος, ἥ, ἐπειδὴ ὅλον, καὶ τὸ 38
πᾶν κατ' αὐτὴν διαμεμέρισται καὶ ἐμμελὲς ὑπάρχει·
ἑπτὰ γὰρ κινημάτων ἀστερικῶν ὑπαρχόντων παρὲξ
τοῦ τῶν ἀπλανῶν ὀγδόου μέν, οὐχ ἁπλοῦ δέ, καὶ
φθόγγους ἀποτελούντων ἰσαρίθμους διὰ τῆς ῥοιζή-
σεως, ἀνάγκη τὰ διαστήματα αὐτῶν καὶ οἷον μεσό-
τητας ἔξ ὑπάρχειν. Ταύτην φίλωσιν οἰκείως κα-
τονομάζουσιν· αὕτη γὰρ συμπλεκτικὴ ἄῤῥενος καὶ
θήλεος κατ' ἔγκρασιν, ἀλλ' οὐχ ὡς ἡ πεντὰς κατὰ
παράθεσιν. Καὶ εἰρήνη δὲ καλεῖται εἰκότως, καὶ
πολὺ πρότερον ἀπὸ τῆς διατάξεως τῆσδε κόσμος·
καὶ γὰρ καὶ ὁ κόσμος, ὥσπερ καὶ ὁ στ, ἐξ ἐναντίων
πολλάκις ὤφθη συνεστὼς καθ' ἁρμονίαν, καὶ ἡ συν-
αρίθμησις τοῦ κόσμου ὀνόματος ἑξακόσιά ἐστιν.
Ἐκάλουν δὲ αὐτὴν ὑγείαν καὶ ἄκμονα τὴν οἷον
ἀκάματον, ὅτι εὐλόγως τὰ τῶν κοσμικῶν στοιχείων
ἀρχικώτατα τρίγωνα μετέχει αὐτῆς, καθ' ἕκαστον
ἓξ ὑπάρχοντα, εἰ καθέτοις τρισὶ διανέμοιτο· ἑξαχῶς
γὰρ ἂν πάντως διανεμηθείη· διὰ τοῦτο τοσαῦται
μὲν αἱ πυραμίδος πλευραί, τοσαῦτα δὲ καὶ τὰ τοῦ
κύβου ἐπίπεδα, τοσαῦται δὲ καὶ αἱ ὀκταέδρου γω-
νίαι καὶ δωδεκαέδρου βάσεις, κύβου τε καὶ ὀκτα-
έδρου καὶ εἰκοσαέδρου πλευραί· καὶ οὐδὲν ἀπήλλα-
κται τοῦ ἕδραις ἢ γωνίαις ἢ πλευραῖς ἐφάπτεσθαι
πάντως τῆς ἑξάδος. Καὶ ἓξ μὲν ὑπὲρ γῆν, ἓξ δὲ
ὑπὸ γῆν ζῴδια. Ὅτι μέχρι πεντάδος ἡ ἀπὸ μονά-
δος πρόβασις ἁπλῆ, ἀπὸ δὲ αὐτῆς παλινοδουμένη
καὶ ἐξ ἄλλης αὖθις ἀρχῆς· ἓν γὰρ καὶ πέντε ὁ τῷ στ
συνεχής, καὶ δύο καὶ πέντε ὁ μετ' ἐκεῖνον, εἶτα τρία
καὶ πέντε ἐφεξῆς, εἶτα τέσσαρα καὶ πέντε, εἶθ' ὁ
τελευταῖος δὶς πέντε, διὰ τὴν αὐτὴν τοῦ ε πρὸς ε
ὑπακούουσιν. Ἑκατηβελέτιν δὲ αὐτὴν καὶ
τριοδῖτιν καὶ διχρονίαν πρὸς τούτοις ἐκάλουν·
ἑκατηβελέτιν μὲν ἀπὸ τοῦ τὴν τριάδα, ἣν Ἑκάτην
οὖσαν παρειλήφαμεν, βολήσασαν καὶ οἷον ἐπισυν-
τεθεῖσαν ἀπογεννῆσαι αὐτήν· τριοδῖτιν δὲ τάχα μὲν

παρὰ τὴν τῆς θεοῦ φύσιν, εἰκὸς δέ, ὅτι καὶ ἡ ἑξὰς
39 τὰ τρία τῶν διαστάσεων κινήματα πρώτη ἔλαχε, δε-
χόθεν πεπερασμένα ἀμφοτέραις καθ' ἕκαστον πα-
ραστάσεσι· διχρονίαν δὲ παρὰ τὴν ἀπονέμησιν τοῦ
παντὸς χρόνου, ἣν ἑξὰς τῶν ὑπὲρ γῆν καὶ ὑπὸ γῆν
ζωδίων διατελεῖ· ἢ ὅτι τῇ τριάδι προσωκειώθη ὁ
χρόνος, τριμερὴς ὤν, διὰ δὲ δύο τριῶν ἡ ἑξάς.
Παρὰ δὲ τὸ αὐτὸ καὶ Ἀμφιτρίτην ἐκάλουν αὐ-
τήν, ἀμφὶς ἑαυτῆς δύο παρέχουσαν τριάδας· τὸ
γὰρ ἀμφὶς κατὰ διχασμὸν χωρίου ἐστί. Τὸ δ' ἀγ-
χίδικος ὄνομα καθ' ἁπλῆν ἔννοιαν προσήρμοζον
αὐτῇ, ὅτι γείτων μάλιστα τῇ πεντάδι ἡ ἑξάς. Θά-
λεια δὲ ἡ αὐτὴ διὰ τὴν τῶν ἑτέρων ἁρμονίαν, καὶ
Πανάκεια διὰ τὰ περὶ ὑγείας προειρημένα εἰς αὐ-
τήν, ἢ οἷον Πανάρκεια, ἀρκετῶς κεχορηγημένη τοῖς
μέρεσιν εἰς τὴν ὁλότητα. Ὅτι ἑπτὰ τῶν σφαιρῶν
οὐσῶν κατὰ τὴν ἑξάδα τὰ διαστήματά ἐστι· μονάδι
γὰρ ἀεὶ ἐλάττων, καὶ τοῦ κύβου δέ, ὅ ἐστι, τῆς
σωματότητος, ἓξ αἱ βάσεις τῶν τριῶν πέρατα οὖσαι
διαστημάτων. Διὰ δὲ τὴν τοῦ κόσμου κατὰ τὴν
ἑξάδα τελειότητα ἡ τοῦ δημιουργήσαντος θεοῦ ἀρε-
τὴ ἑξαδικὴ δικαίως ἐνομίσθη· μόνη γὰρ πασῶν ἀρε-
τῶν θεία καὶ τελεία ὡς ἀληθῶς ἀκρότης καὶ κατ' οὐ-
δὲν μεσότητος κοινωνοῦσα ἡ σοφία ὑπάρχει, ἓν
ἁπλοῦν ἀντίθετον ἔχουσα μόνην τὴν αὐτῆς στέρησιν
τὴν ἀμαθίαν, τῷ μήτε ὑπερβάλλειν μήτε ἐλλείπειν·
οὐδὲ ἄλλης μέν τινος ἄπεστιν ἀρετῆς, ἀλλὰ συνυ-
πάρχει πάσαις ὡς θνηταῖς· αὕτη δὲ μόνη οὐ πλεο-
νάζει διὰ τὴν ἑξάδος μετοχὴν οὔτε πλέον οὔτε ἔλατ-
τον πρὸς τὰ μέρη, ἰσότητα δὲ πάντως ἐχούσης καὶ
τούτου τελειότητα καὶ ὁλότητα, ᾗ κατείληπται ὁ
σοφίᾳ θεοῦ καὶ προνοίᾳ μηχανηθεὶς κόσμος, αὐτός
τε καὶ ἐπὶ μέρους ἐν αὐτῷ φυτὰ καὶ ζῶα, ὡς κἂν τοῖς
περὶ ἑβδομάδος φανήσεται. Καὶ νῦν δέ, ἐφ' ὅσον
ἑξάδι προσῆκεν, οὕτως ὁρατέον κατ' ἐπιδρομὴν ἀπὸ
μονάδος ἐν τῷ Πυθαγορικῷ ὀρθογωνίῳ τριγώνῳ τὴν

πρόοδον ποιουμένοις· μία μὲν ἡ αὐτόθεν ὀρθὴ ἐν αὐτῷ γωνία· δύο δὲ ἄγισαι μὲν ἀλλήλαις, συναμφότεραι δὲ τῇ προλεχθείσῃ ἴσαι· καθὰ καὶ τῷ ἀπὸ τῆς ἐκείνην ὑποτεινούσης· τετραγώνῳ ἀμφότερα τὰ ἐφ' ἑκατέρας ἀναπλασσόμενα τῶν ἐκείνας ὑποτεινουσῶν· τρεῖς μὲν αἱ κατὰ τὴν ἐλάττονα τῶν περὶ τὴν ὀρθήν, τέσσαρες δὲ αἱ περὶ τὴν μείζονα, πέντε δὲ περὶ τὴν ὑποτείνουσαν, ἓξ δὲ αἱ τοῦ ἐμβαδοῦ, τουτέστι, αἱ τοῦ ἡμισεύματος τοῦ παραλληλογράμμου, ὅπερ ἡ τοῦ παραλληλογράμμου περιώρισε διάμετρος· ἀπὸ γὰρ μονάδος συνεχὴς μέχρις ἑξάδος ἡ πρόοδος, ἀπὸ δὲ ἑξάδος ἐπὶ τὸν διπλάσιον ἡ μουσική, ἀπὸ δὲ τούτων ἡ εἰς πάντα τὰ ὅπλα διατείνουσα καθάρμοσις, ἐπὶ δὲ γονιμότητος ἑπταμήνων καὶ ἐννεαμήνων καὶ μᾶλλον· ἐάν τε γὰρ κατὰ τὰ ψυχικὰ δύο ἀποχετεύματα διπλάσια καὶ τριπλάσια ἡ πρόβασις ἀπὸ ἑξάδος διὰ δωδεκάδος χωρῇ παραπλησίως, ἐάν τε διὰ ὀκτωκαιδεκάδος τριπλασίως συμπεπλήρωται ἕκαστον διάστημα, ὥστε δύο λαβεῖν μεσότητας, τὴν μὲν ταυτῷ μέρει τῶν ἄκρων αὐτῶν ὑπερέχουσάν τε καὶ ὑπερεχομένην ἡμιολίων τε καὶ ἐπιτρίτων διαστημάτων λόγους ἀναδέξασθαι, καθ' ἑκάτερον πάντως ἡ δηλουμένη φύσεται ζωογονία· ἐν μὲν γὰρ τῷ διπλασίῳ τῷ στ καὶ τῷ ιβ μεσασθέντων τοῦ η καὶ θ, καὶ τὰ λεχθέντα τρανῶς ἀποτελεσθήτω, τὸ ὁμοῦ πάντων σύστημα ὁ λέ ἑξάδι αὐξηθὲν ἑπτάμηνον χρόνον ἀποτελεῖ τὸν τῶν σί ἡμερῶν· ἐν δὲ τῷ στ καὶ ιή τὰ θ καὶ τὰ ιβ μεσεμβοληθέντα καὶ τὴν αὐτὴν ἐναλλὰξ ἁρμονικὴν σχέσιν ἀποδόντα, συγκεφαλαιωθέντα τὸν μὲ ἀποτελεῖ, ὃς τῇ αὐτῇ ἑξάδι αὐξηθεὶς τὸν τῶν θ μηνῶν ἀποδώσει ἀριθμόν, ἡμερῶν ὄντα σό, ὥστε ἀμφοτέρους τοὺς ζωογονικοὺς τούτους χρόνους ἠρτῆσθαι τῆς ἑξάδος, ὡς ἂν ψυχοειδοῦς· ἡ γοῦν πρώτη παρὰ Πλάτωνι ἐν τῇ ψυχογονίᾳ μοῖρα ἑξὰς διὰ τοῦτο ὡς εὐλογιώτερον τίθεται, διπλασία δὲ αὐτῆς ἡ δωδεκάς, τριπλασία δὲ ἡ ὀκτωκαιδεκὰς μέχρι τῆς

ρξβ' καὶ εἰκοσαπλασίας· ἐν γὰρ ταύταις ταῖς ποσότησιν ἡ τῶν δύο μεσοτήτων ἑνοῦται φύσις πρώταις
41 ἐλαχίσταις ἥ τε τοῦ ἀναμέσου ἀμφοῖν ἐπογδόου διαστήματος. Ἐπεὶ δὲ ὁ ἀπὸ τοῦ στ' κύβος σιστ' γίνεται, ὁ ἐπὶ ἑπταμήνων γονίμων χρόνος, συναριθμουμένων ταῖς ἑπτὰ τῶν ἓξ ἡμερῶν, ἐν αἷς ἀφροῦται καὶ διαφύσεις σπέρματος λαμβάνει τὸ σπέρμα, Ἀνδροκύδης δὲ ὁ Πυθαγορικὸς ὁ περὶ τῶν συμβόλων γράψας καὶ Εὐβουλίδης ὁ Πυθαγορικὸς καὶ Ἀριστόξενος καὶ Ἱππόβοτος καὶ Νεάνθης, οἱ κατὰ τὸν ἄνδρα ἀναγράψαντες, σιστ' ἔτεσι τὰς μετεμψυχώσεις τὰς αὐτῷ συμβεβηκυίας ἔφασαν γεγονέναι· μετὰ τοσαῦτα γοῦν ἔτη εἰς παλιγγενεσίαν ἐλθεῖν Πυθαγόραν καὶ ἀναζῆσαι ὡσανεὶ μετὰ τὴν πρώτην ἀνακύκλωσιν καὶ ἐπάνοδον τοῦ ἀπὸ ἓξ ψυχογονικοῦ κύβου, τοῦ δ' αὐτοῦ καὶ ἀποκαταστατικοῦ διὰ τὸ σφαιρικόν, ὡς δὲ καὶ ἄλλο διὰ τούτων ἀνάζησιν ἔσχε· ᾧ καὶ συμφωνεῖ τὸ Εὐφόρβου τὴν ψυχὴν ἐσχηκέναι, κατά τε τοὺς χρόνους· φ' γὰρ καὶ ιδ' ἔτη ἔγγιστα ἀπὸ τῶν Τρωϊκῶν ἱστορεῖται μέχρι Ξενοφάνους τοῦ φυσικοῦ καὶ τῶν Ἀνακρέοντός τε καὶ Πολυκράτους χρόνων καὶ τῆς ὑπὸ Ἅρπάγου τοῦ Μήδου Ἰώνων πολιορκίας καὶ ἀναστάσεως, ἣν Φωκεῖς φυγόντες Μασσαλίαν ᾤκισαν· πᾶσι γὰρ τούτοις ὁμόχρονος ὁ Πυθαγόρας· ὑπὸ Καμβύσου γοῦν ἱστορεῖται Αἴγυπτον ἑλόντος συνηχμαλωτίσθαι ἐκεῖ συνδιατρίβων τοῖς ἱερεῦσι, καὶ εἰς Βαβυλῶνα μετελθὼν τὰς βαρβαρικὰς τελετὰς μυηθῆναι, ὅτε Καμβύσης τῇ Πολυκράτους μέχρι τυραννίδι συνεχρόνει, ἣν φεύγων εἰς Αἴγυπτον μετῆλθε Πυθαγόρας. Λὶς οὖν ἀφαιρεθείσης τῆς περιόδου, τουτέστι, δὶς τῶν σιστ' ἐτῶν, λοιπὰ γίνεται τὰ τοῦ βίου αὐτοῦ πβ'. Τῆς οὖν τοῦ στ' ἀριθμοῦ φύσεως διατεινούσης πως εἰς ψυχῆς συγγένειαν καὶ εἰδοποίησιν, συλληπτικὰ ἂν καὶ τὰ ὑπὸ Πλάτωνος λεγόμενα εἰς τοῦτον τὸν τρόπον εὑρεθείη· τὸ γὰρ σύγκριμα, ἀφ' οὗ ἡ

ψυχογονίας διανομὴ καὶ τῶν μέχρις ἑπτακαιεικοσιπλασίων μοιρῶν ἀπόστασις, ἑξαδικὸν καὶ κατ' αὐτὴν ὑπάρχει εἰς οὐδὲν ἄλλο ἀπιδόντος ἢ εἰς αὐτὴν τὴν περὶ ἑξάδος ὑφ' ἡμῶν λεχθεῖσαν ἰδιότητα. Ἐπεὶ γὰρ αὕτη οὐ μόνον ἀρτιοπερίσσου τῆς μονάδος ἐναργές ἐστι πρὸς τῶν ἄλλων ὁμοίωμα, πρωτίστη ἐναντιωνυμούμενα καὶ ἀντωνυμοῦντα ἔχουσα τὰ μόρια (τρίτον μὲν β', ἥμισυ δὲ γ', ἕκτον α', ὅλον δὲ στ'), ἀλλὰ καὶ τοῦ πρώτου κατ' ἐνέργειαν περισσοῦ καὶ τοῦ ὁμοίως ἀρτίου σύγκριμά ἐστιν ἅμα καὶ ἥμισυ διὰ τοῦτο μόνη ἀπὸ πάντων τῶν ἐκτὸς δεκάδος, ὥστε ὑπάρχειν τρανὲς τῆς ἀμερίστου οὐσίας καὶ τῆς μεριστῆς μίγμα, ἑτερομήκης δὲ ἄντικρυς πρὸ τῶν ἄλλων, δυάδος τοῦτο οὐκ εὐλόγως ἔχειν νομιζομένης, καὶ πρὸς τούτοις στερεὸς πρῶτος ἀριθμῶν πεφώραται καὶ σκαληνός, ἀλλ' οὐν τριχῇ διαστατός, διὰ τὰς μεσότητας ἡ ἐλαχίστη συμπασῶν, κατ' αὐτὴν τοῖς τε ἰδίοις μέρεσι τελείως ἐξεταζομένων. Εἰκότως διὰ πάντα ταῦτα τὸ κέρασμα ὁ Πλάτων συνεκεράσατο· πρῶτον μὲν τῆς τοῦ ἀμερίστου οὐσίας, δεύτερον δὲ τῆς μεριστῆς, τρίτον δὲ τοῦ ἐξ ἀμφοῖν, ἵνα δύο ὄντα τρίτα καθ' ἑκάτερον ὑπάρχῃ ἡ τριάς, κατὰ ἀντιδιαστολὴν διττά, ἴσων τῶν δὶς τρία ἢ τρὶς δύο, περισσὸν καὶ ἄρτιον καὶ ἀρτιοπέρισσον, τετράγωνος ἑτερομήκης. Ὅτι δὲ οὐδὲ ἐντὸς ἑξάδος δυνατὸν εὑρεῖν ἕτερον ἀριθμὸν τῶν τῆς ψυχῆς ἁρμονίας λόγων πάντων ἐπιδεκτικόν, καὶ Ἀριστταῖος ὁ Πυθαγορικὸς δείκνυσι. 42

ζ'. Περὶ ἑπτάδος Ἀνατολίου.

Ὅτι ὁ ἑπτὰ ἀμήτωρ καὶ παρθένος ἀπὸ μονάδος· συντεθεὶς τὸν κη ποιεῖ τέλειον· ἡμέραι σελήνης κή καθ' ἑβδομάδα συμπληρωθεῖσαι· ἀπὸ μονάδος ἑπτὰ ἀριθμοὶ ἐν διπλασίονι λόγῳ προσαυξηθέντες ποιοῦσι τὸν πρῶτον τετράγωνον ὁμοῦ καὶ κύβον τὸν [illegible] β', [illegible], λβ', ξδ'· ἐν τριπλασίονι δὲ

λόγῳ προσανξηθέντες ἑπτὰ ἀριθμοὶ ποιοῦσι τὸν δεύτερον τετράγωνον καὶ κύβον τὸν ψκδ', ά, γ', δ', μ
43 κξ', πά, σμγ', ψκθ'. Ἔτι ἑβδομὰς ἐκ τῶν τεσσάρων περάτων, σημείου, γραμμῆς, ἐπιφανείας, πάχους, σῶμα δείκνυσιν. Ὁ ζ' λέγεται τῆς πρώτης συμφωνίας ἀριθμὸς εἶναι τῆς διὰ δ', δγ', ἀναλογίας τε γεωμετρικῆς ά, β', δ'. Καλεῖται καὶ τελεσφόρος· γόνιμα γὰρ τὰ ἑπτάμηνα. Ἐν νόσοις κρίσιμος ἡ ἑβδομάς. Τοῦ πρωτοτύπου ὀρθογωνίου τριγώνου ὁ ζ' περιέχει τὰς περὶ τὴν ὀρθὴν γωνίαν πλευράς· τῶν γὰρ πλευρῶν ἡ μὲν δ', ἡ δὲ γ'. Πλάνητες ἑπτά· ἑπτὰ ὁρῶμεν, σῶμα, διάστασιν, σχῆμα, μέγεθος, χρῶμα, κίνησιν, στάσιν· κινήσεις ἑπτά, ἄνω, κάτω, πρόσω, ὀπίσω, δεξιά, ἀριστερά, μέσον. Ἐν κύκλοις Πλάτων ἐξ ἑπτὰ ἀριθμῶν συνέστησε τὴν ψυχήν. Πάντα φιλέβδομα, φωνήεντα ἑπτά, φωνῆς μεταβολαὶ ἑπτά, ἡλικίαι ἑπτά, ὡς φησιν Ἱπποκράτης· ἑπτά εἰσιν ὧραι, ἃς ἡλικίας καλέομεν, παιδίον, παῖς, μειράκιον, νεανίσκος, ἀνήρ, πρεσβύτης, γέρων· καὶ παιδίον μὲν ἄχρις ἑπτὰ ἐτέων, ὀδόντων ἐκβολή· παῖς δ' ἄχρις ἐκφύσιος εἰς τὰ δὶς ζ'· μειράκιον δ' ἄχρι γενείου λαχνώσεως εἰς τὰ τρὶς ζ'· νεανίσκος δ' ἔστ' αὐξήσεως ὅλου τοῦ σώματος εἰς τὰ τετράκις ζ'· πρεσβύτης δ' ἄχρις ἐτῶν νστ' εἰς τὰ ἑπτάκις ἡ· τὸ δὲ ἐντεῦθεν γέρων.

Ἐκ τοῦ δευτέρου βιβλίου τῆς ἀριθμητικῆς τοῦ Γερασηνοῦ Νικομάχου.

Ἀγελεία μὲν λέγεται ἀπὸ τοῦ συνειλῆσθαι καὶ συνῆχθαι ἐνοειδῶς τὴν σύστασιν αὐτῆς, ἐπείπερ παντοίως ἄλυτος, πλὴν εἰς τὸ ὁμώνυμον· ἢ ἀπὸ τοῦ πάντα ἀγαγέναι δι' αὐτῆς τὰ φυσικὰ ἀποτελέσματα εἰς τελείωσιν· ἢ μᾶλλον, ὃ καὶ Πυθαγορικώτερον, ἐπειδὴ καὶ Βαβυλωνίων οἱ δοκιμώτατοι

καὶ Ὀστάνης καὶ Ζωροάστρης ἀγέλας κυρίως καλοῦσι τὰς ἀστρικὰς σφαίρας, ἤτοι παρ' ὅσον τελείως ἄγονται περὶ τὸ κέντρον μόναι παρὰ τὰ σωματικὰ μεγέθη· ἢ ἀπὸ τοῦ σύνδεσμοί πως καὶ συναγωγαὶ χρηματίζειν δογματίζεσθαι παρ' αὐτῶν τῶν φυσικῶν 44
λόγων, ἃς ἀγέλους κατὰ τὰ αὐτὰ καλοῦσιν ἐν τοῖς ἱεροῖς λόγοις, κατὰ παρέμπτωσιν δὲ τοῦ γάμμα ἐφθαρμένως ἀγγέλους· διὸ καὶ τοὺς καθ' ἑκάστην τούτων τῶν ἀγγέλων ἐξάρχοντας ἀστέρας καὶ δαίμονας ὁμοίως ἀγγέλους καὶ ἀρχαγγέλους προσαγορεύεσθαι, οἵπερ εἰσὶν ἑπτὰ τὸν ἀριθμόν, ὥστε ἀγγελία κατὰ τοῦτο ἐτυμότατα ἡ ἑβδομάς. Μή τι δὲ καὶ φυλακῖτις ἡ αὐτὴ ἐκ τοῦ αὐτοῦ· οὐ γὰρ μόνον παρὰ τὸν τῶν φυλάκων ἀριθμὸν ἕπτ' ἔσονται ἡγεμόνες, ἀλλὰ καὶ ὅτι οἱ φυλάσσοντες τὸ πᾶν καὶ ἐν συνοχῇ καὶ αἰωνίῳ μονῇ διακρατοῦντες τοσοῦτοί εἰσιν ἀστέρες. Ὅτι τὴν ἑπτάδα οἱ Πυθαγορικοὶ οὐχ ὁμοίως τοῖς ἄλλοις φασὶν ἀριθμοῖς, ἀλλὰ σεβασμοῦ φασὶν ἀξίαν· ἀμέλει σεπτάδα προσηγόρευον αὐτήν, καθὰ καὶ Πρῶρος ὁ Πυθαγορικὸς ἐν τῷ περὶ τῆς ἑβδομάδος φησί· διὸ καὶ ἐξεπίτηδες τὸν ἐξ διὰ τῆς ἐκφωνήσεως τοῦ κάππα καὶ σίγμα (ταῦτα γὰρ ἐν τῷ ξι συνεξακούεται) ἐκφέρουσιν, ἵνα ἐν τῇ συνεχεῖ καθ' εἱρμὸν ἐπιφορᾷ τὸ σίγμα συνάπτηται τῷ ἑπτά, ὥστε λελῆθότως ἐκφωνεῖσθαι σεπτά. Τοῦ δὲ σεβάσμιον εἶναι τὸν ἕβδομον ἀριθμὸν αἰτία ἥδε· ἡ τοῦ κοσμοποιοῦ θεοῦ πρόνοια τὰ ὄντα πάντα ἀπειργάσατο, γενέσεως μὲν ἀρχὴν καὶ ῥίζαν ἀπὸ τοῦ πρωτογόνου ἑνὸς ποιησαμένη τοῦ πάντα εἰς ἀπόμαξιν καὶ ἀφομοίωσιν ἰόντος ἀνωτάτου καλοῦ, συμπληρώσεως δὲ τελείωσιν καὶ κατάκλεισιν ἐν αὐτῇ τῇ δεκάδι. Ὄργανον δέ τι καὶ ἄρθρον τὸ κυριώτατον καὶ τῆς ἀπεργασίας τὸ κράτος ἀπειληφὸς τὴν ἑβδομάδα νομιστέον τῷ κοσμοποιῷ θεῷ ὑπάρξαι· μεσότης γάρ τις φυσικὴ καὶ οὐχ ἡμῶν θεμένων ἡ ἑβδομὰς μονάδος καὶ δεκάδος· αἱ δὲ ἴδιαι μεσότητες κυριώτεραι

πως τῶν ἄκρων ὑπάρχουσι· πρὸς αὐτὴν γὰρ ἑκατέρωθεν οἱ λόγοι συννεύουσιν, οὐ μόνον οὖν, ὅτι, ἐπειδὴ κατ' ἀριθμητικὴν ἴσην σχέσιν μεσιτεύουσι μονάδος καὶ δεκάδος ὁ δ' καὶ ζ', ἴσον τῇ τῶν ἄκρων
45 συνθέσει τὸ ἀμφοτέρων αὐτῶν σύστημα παρέχοντες, ὅσῳ πλεονάζει τοῦ ἑνὸς ὁ δ', τοσούτῳ τοῦ δέκα ὁ ζ' λειπόμενος, καὶ ἐναλλάξ, ὅσῳ τοῦ ἑνὸς ὁ δ' λείπεται, τοσούτῳ τοῦ ἀ ὁ ζ' πλεονάζων, ἀλλὰ καὶ ὅτι τὰ μὲν ἀπὸ μονάδος μέχρι τετράδος δυνάμει δέκα ἐστί, ἐνεργείᾳ δὲ αὐτὸ τοῦτο ἡ δεκάς, ὁ δὲ ζ' ἀριθμητικὴ μεσότης τετράδος καὶ δεκάδος, τρόπον τινὰ δύο δεκάδων, τῆς μὲν δυνάμει, τῆς δὲ ἐνεργείᾳ, ὑποδιπλάσιος ὢν τῆς ἀμφοῖν συνθέσεως. Ἔτι δὲ καὶ ἀκρόπολίς τις ὡσανεὶ καὶ δυσχείρωτον ῥεῦμα μονάδι ἀσχίστῳ κατὰ τοῦτο ἡ ἑβδομὰς ἐν τῇ δεκάδι φαίνεται· μονωτάτη γὰρ οὔτε πλάτος ἐπιδέχεται εὐθυμετρικὴ οὖσα καὶ μόνου τοῦ ὁμωνύμου ἐπιδεκτικὴ μέρους, οὔτε μὴν μιγνυμένη τινὶ τῶν ἐντὸς δεκάδος τινὰ τῶν ἐν αὐτῇ γεννᾷ, οὔτε μιγέντων τινῶν τῶν μέχρι δεκάδος γεννᾶται· λόγον δὲ ἴδιον ἔχουσα καὶ ἀκοινώνητον καιριώτατα τέτακται· διὸ πολλὰ συντυγχάνει ἐν τοῖς κοσμικοῖς οὐρανίοις τε καὶ περιγείοις, ἀστράσι καὶ ζώοις καὶ φυτοῖς, κατ' αὐτὴν ἀποτελεῖσθαι. Τοιγαροῦν τύχη τε ὡς πᾶσι παρεπομένη τοῖς ἀποβαίνουσιν ὀνομάζεται καὶ καιρὸς ἐπὶ τούτῳ, διότι καιριωτάτης τέτευχε χωρίας καὶ φύσεως. Μέγα δὲ τεκμήριον τοῦ λόγου καὶ τὸ ἐν ταῖς σφαίραις· ὀγδόην μέν γε τὴν ἄνωθεν, τρίτην δὲ κάτωθεν σεληνιακὴν ὑπάρχουσαν τὴν τῶν περὶ γῆν ἀποτελεσμάτων ἀποτέλεσιν καὶ ἐξουσίαν ἀποφέρεσθαι, μεσαίχμιον νοουμένην τῶν τε ἄνωθεν καὶ τῶν κάτωθεν· καὶ αὐτὴ γὰρ ἑβδομάδι πρὸς ταῦτα ἐπιχρωμένη φαίνεται συλλαμβάνουσα μέν πως ὡς ὑπ' ἀσπίστου τῆς τετράδος· καὶ αὐτὴ γὰρ ἐν δεκάδι μεσότης ὤφθη σὺν αὐτῇ τῇ ἑβδομάδι· ἀναγκαίως τελεσιουργία καὶ συμπλήρωσις τοῖς οὖσιν ἀποτελεῖται

δὶ ἀμφοτέρων τῶν ἀριθμῶν, ἐπειδὴ καὶ ὁ κή, τέλειος τοῖς ἑαυτοῦ μέρεσιν ὤν, ἀμφοτέρων ἐγκραθέντων ἔργον ἐστί· τετράκις γάρ, συλλαμβανούσης δὲ πολύ τι πλέον τῆς ἑβδομάδος· ἡ γὰρ ἀπὸ μονάδος μέχρι αὐτῆς σύνθεσις ἀποτελεῖ αὐτόν. Ἑπτά- 46
ωροι οὖν αἱ τέσσαρες σεληνιακαὶ φάσεις ὑπάρχουσαι συμπληροῦσιν εὐλόγως τὸν τοῦ ἀστέρος τούτου μῆνα, ἡμερῶν ὄντα ἔγγιστα κθ'. Συλλογίσασθαι δὲ δεῖ καὶ τὰς ἑπτὰ σχηματικὰς μορφὰς τῆς σελήνης τετράδι, μηνοειδῆ, διχότομον, ἀμφίκυρτον, πανσέληνον, πάλιν ἄλλον ἀμφίκυρτον, ἐκ θατέρου μέρους φωτιζομένης αὐτῆς, καὶ πάλιν διχότομον κατὰ ταυτά, καὶ ἄλλην μηνοειδῆ. Διατιθέμενον δὲ καὶ τὸν ὠκεανὸν ὑπ' αὐτῆς κατὰ τοὺς ἑβδομαδικοὺς ἀριθμοὺς ὁρῶμεν· ἐν νουμηνίᾳ μὲν μέγιστος ἐν τῷ πλημμυρεῖν ὁρᾶται, δευτέρᾳ δὲ βραχὺ ὑποβεβηκώς, τρίτῃ ἔτι ἐλάσσων, καὶ κατὰ τὸ ἑξῆς ἡ ἀνοίδησις πλημμυρίδος ἔτι μᾶλλον μειοῦται μέχρι τῆς ἑβδόμης, ἥτις διχότομον τὴν σελήνην ἐπιδείκνυσιν· τὸ δ' αὖ ἀπὸ ταύτης ἐν τῇ ὀγδόῃ ἴσως πάλιν γίνεται τῇ ἑβδόμῃ, τουτέστι, ἡ αὐτὴ δυνάμει, ἐν δὲ τῇ θ', οἷα περ ἐπὶ τῆς στ', δεκάτῃ δέ, οἵα ἐπὶ τῆς ε', καὶ τῇ ια', οἵα ἐν τῇ δ', τῇ δὲ ιβ', οἵα ἐν τῇ γ', τῇ δὲ ιγ', οἵα ἐν τῇ β', τῇ δὲ ιδ', οἵα ἐν τῇ πρώτῃ. Εἶτα ἀπ' ἄλλης ἀρχῆς ἡ τρίτη ἑβδομὰς τὰς αὐτὰς διαθέσεις ποιεῖ τῇ ὑδατικῇ σφαίρᾳ, ἃς ἡ πρώτη· ἡ δὲ δ', ἃς ἡ β'· οὐ γὰρ δεῖ νῦν ὀστρέων τε καὶ ἐγκεφάλων καὶ μυελῶν μανθάνησιν καὶ τῶν πλείστων ζώων τὴν συμπάθειαν ἐπεξιέναι τὴν πρὸς τὸ ἄστρον τοῦτο, ὁπότε ἐξ αὐτῶν τοῖς ἀνθρώποις συμβαινόντων αὐτάρκως δυνάμεθα πειραθῆναι περὶ τῶν λεγομένων. Πρῶτον μὲν αἱ καθάρσεις ταῖς γυναιξὶ διὰ τῶν προλεχθεισῶν ἑβδομαδικῶν περιόδων γίνονται, παρ' αὐτὸ τοῦτο πρός τινων ἔμμηνα καὶ καταμήνια καλούμενα· εἶτα ἑπτάκις ὁ γόνος ὡς ἐπίπαν τῷ ἄρρενι θόρνυται, εἰς τὴν γυναικείαν μήτραν, ἑπτὰ δὲ ὥραις ταῖς πλεί-

σταις ἤτοι προσπλάσσεται εἰς ζωογόνησιν. τὸ νοσι-
μώτερον αὐτοῦ ἢ ἀπολισθαίνει· καθάπερ ἀμέλει καὶ
ἀντιστρόφως ἀπὸ τῆς φυσικῆς τοῦ ἐμβρύου ὀμφαλο-
τομίας εἰς τὴν τῆς ἐξόδου ἐπίδειξιν ἑπτὰ ὡρῶν οὐκ
47 ἐντὸς διάστημα ἀναλύεται, ἐν αἷς συμμέτρως ἱκα-
νὸν ἀντέχειν τὸ κύημα, οὔτε τῇ ἀπὸ τοῦ ὀμφαλοῦ
τροφῇ διαπρατεῖσθαι ἔχον ἔτι ὡς φυτὸν ἢ μέρος,
οὔτε πω τῇ θύραθεν εἰσπνοῇ ὡς ζῶον ἤδη ἀπροσάρ-
τητον καὶ αὐτοτελές, ἡμέραις δὲ ἑπτὰ φύσει τινὶ
ὑμενώδει ὑδροδόκῳ ὁμοιοῦται, καθάπερ καὶ ὁ ἰα-
τρὸς Ἱπποκράτης συναινεῖ λέγων ἐν τῷ περὶ παιδίου
φύσεως· γυναικὸς οἰκείης ἡμῖν μουσουρ-
γὸς ἀγαθή, κάρτα καὶ πολύτιμος, ἥ
πρὸς ἄνδρα φοιτέουσα, οὐκ ἔθελε δὲ λα-
βεῖν ἐν γαστρί, ἵνα μὴ ἀτιμοτέρη τοῖς
ἐρασταῖς εἴη· ἠκηκόει δὲ ἡ μουσουργός,
οἷάπερ αἱ γυναῖκες πρὸς ἀλλήλας λέγου-
σιν, ὅτι, ἐπειδὰν μέλλῃ ἡ γυνὴ συλλήψε-
σθαι ἐν γαστρί, οὐκ ἐξέρχεται ἡ γονή,
ἀλλ' ἐμμένει, ταῦτα ἀκούσασα συνῆκε·
καί που ἤσθετο οὐκ ἐξελθοῦσαν τὴν γο-
νὴν ἅπασαν ἀφ' ἑαυτῆς καὶ ἔφρασε τῇ
δεσποίνῃ, καὶ ὁ λόγος ἦλθεν εἰς ἐμέ· κἀ-
γὼ ἀκούσας ἑβδομαίαν οὖσαν ἐπέτρεψα
πρὸς γῆν ὑψηλὰ πηδᾶν· ἑπτὰ δέ οἱ ἐπε-
πήδητο, καὶ ἐξῆλθεν αὐτὴ ἡ γονή, καὶ
ψόφος ἐγένετο· οἷον δὲ ἦν τὸ ἐκθορέν,
ἐγὼ ἐρέω· οἷον εἴ τις ὠοῦ τὸ ἔξωθεν λέ-
πυρον περιέλοι, ἐν δὲ τῷ ἐσωτάτῳ ὑμένι
τὸ ὑγρὸν διαφαίνοιτο. Καὶ τάδε μὲν Ἱππο-
κράτης. Στράτων δὲ ὁ Περιπατητικὸς καὶ Διοκλῆς
ὁ Καρύστιος καὶ πολλοὶ ἕτεροι τῶν ἰατρῶν ἐν μὲν
τῇ δευτέρᾳ ἑβδομάδι ῥανίδας αἵματος ἐπιφαίνεσθαι
τῷ λεχθέντι ὑμένι φασὶν ἐκ τῆς ἐξωτέρας ἐπιπλοκῆς,
ἐν δὲ τῇ τρίτῃ διϊκνεῖσθαι τὸ ὑγρὸν φασι, καὶ μέσον
ὡς σαρκός τι καὶ αἵματος σύστρεμμα ἴσχειν, δηλον-

ότι τελεσιουργίας τυχὸν διὰ τὴν τοῦ κή τελείαν φύσιν, ἢ διὰ τὴν ἐν αὐτῷ τῶν δύο περιττῶν κύβων περαινούσης οὐσίας ὑπαρχόντων σύνθεσιν· ἐν δὲ τῷ ε κατὰ τὴν λ' μάλιστα καὶ πέμπτην ἡμέραν διαπλάττεσθαι ἐν μέσῳ αὐτῷ, μελίττης μὲν μεγέθει ἐοικὸς τὸ βρέφος, διατετρανωμένον δὲ ὅμως, ὥστε κεφαλὴν καὶ αὐχένα καὶ θώρακα καὶ κῶλα ὁλοσχερέστερον φαντάζεσθαι ἐν αὐτῷ· καὶ τοῦτό φασι ζ' μησὶ γόνιμον εἶναι· εἰ δ' ἐννέα μέλλει γενήσεσθαι, τῇ στ' 48
πάσχει τοῦτο ἑβδομάδι, ἂν θῆλυ ᾖ, ἂν δὲ ἄρσεν, τῇ ζ· τῆς δὲ γονιμότητος αἰτίαν μάλιστα τὴν ἑβδομάδα ὑπάρχειν, δηλοῖ τὸ καὶ τὰ ἑπταμηνιαῖα δι' αὐτὴν ζώσιμα οὐκ ἔλαττον τῶν ἐννεαμηνιαίων γίνεσθαι, διαφθείρεσθαι δὲ ὑπὸ τῆς φυσικῆς ἀνάγκης τὰ ἀμφοῖν μέσα τεταγμένα ὀκταμηνιαῖα· ὃ διὰ τοιούτου τινὸς ἐπιλογισμοῦ συνεβίβαζον οἱ Πυθαγορικοί, δι' ἀριθμητικῶν λόγων καὶ διαγραμμάτων τὴν ἔφοδον ποιούμενοι· τοὺς ἀπὸ τῶν δύο ἐλαχίστων ἀριθμῶν πυθμένας κύβους τοῦ τε β' καὶ τοῦ γ' τὸν ἡ καὶ τὸν κζ' συντιθέντες ποιοῦσι τὸν λέ, ἐν ᾧ μάλιστα συμβέβηκε τοὺς τῶν συμφωνιῶν ὁρᾶσθαι λόγους, δι' ὧν ἡ ἁρμονία τελειοῦται· γένεσις μὲν γὰρ πᾶσα ἐξ ἐναντίων, ὑγροῦ, ξηροῦ, ψυχροῦ, θερμοῦ, ἐναντία δὲ οὐχ ὁμονοεῖ οὐδ' εἰς σύστασίν τινα συντρέχει δίχα ἁρμονίας· ἁρμονιῶν δὲ ἀρίστη, πάντων ἐπιδεκτικὴ τῶν συμφώνων λόγων, ἡ κατὰ τὸν λέ ἀριθμόν, ὃς οὐ μόνον εἰς στερέωσιν καὶ τελειότητα τοῖς προλεχθεῖσι δυσὶ κύβοις τριχῇ διαστατοῖς ἰσάκις ἴσα ἰσάκις συμπληροῦται, ἀλλὰ καὶ τῶν πρώτων τριῶν τελείων τῶν τοῖς ἰδίοις μέρεσιν ἴσων, δυνάμει μὲν τοῦ ά, ἐνεργείᾳ δὲ τοῦ στ' καὶ κή σύστημά ἐστι. Πρὸς δὲ τούτοις καὶ τῶν τὴν ἁρμονικὴν ἐπιδειξαμένων πυθμενικῶς θεωρίαν τῶν συμφωνιῶν σχέσεων ἁπασῶν, τοῦ στ' καὶ ἡ καὶ θ' καὶ ιβ', συγκεφαλαίωμά ἐστι. Τοῦτον δὲ τὸν λέ ἐναρμόνιον ὄντα καὶ τελεστικώτατον ὑπὸ πλευρῶν δύο περισσῶν περιεχό-



ὁτι τελεσιουργίας τυχὸν διὰ τὴν τοῦ κή τελείαν φύσιν, ἢ διὰ τὴν ἐν αὐτῷ τῶν δύο περιττῶν κύβων περαινούσης οὐσίας ὑπαρχόντων σύνθεσιν· ἐν δὲ τῷ ε κατὰ τὴν λ' μάλιστα καὶ πέμπτην ἡμέραν διαπλάττεσθαι ἐν μέσῳ αὐτῷ, μελίττης μὲν μεγέθει ἐοικὸς τὸ βρέφος, διατετρανωμένον δὲ ὅμως, ὥστε κεφαλὴν καὶ αὐχένα καὶ θώρακα καὶ κῶλα ὁλοσχερέστερον φαντάζεσθαι ἐν αὐτῷ· καὶ τοῦτό φασι ζ' μησὶ γόνιμον εἶναι· εἰ δ' ἐννέα μέλλει γενήσεσθαι, τῇ σ' 48
πάσχει τοῦτο ἑβδομάδι, ἂν θῆλυ ᾖ, ἂν δὲ ἄρσεν, τῇ ζ'· τῆς δὲ γονιμότητος αἰτίαν μάλιστα τὴν ἑβδομάδα ὑπάρχειν, δηλοῖ τὸ καὶ τὰ ἑπταμηνιαῖα δὲ αὐτὴν ζώσιμα οὐκ ἔλαττον τῶν ἐννεαμηνιαίων γίνεσθαι, διαφθείρεσθαι δὲ ὑπὸ τῆς φυσικῆς ἀνάγκης τὰ ἀμφοῖν μέσα τεταγμένα ὀκταμηνιαῖα· ὃ διὰ τοιούτου τινὸς ἐπιλογισμοῦ συνεβίβαζον οἱ Πυθαγορικοί, δι' ἀριθμητικῶν λόγων καὶ διαγραμμάτων τὴν ἔφοδον ποιούμενοι· τοὺς ἀπὸ τῶν δύο ἐλαχίστων ἀριθμῶν πυθμένας κύβους τοῦ τε β' καὶ τοῦ γ' τὸν ἡ καὶ τὸν κζ' συντιθέντες ποιοῦσι τὸν λέ, ἐν ᾧ μάλιστα συμβέβηκε τοὺς τῶν συμφωνιῶν ὁρᾶσθαι λόγους, δι' ὧν ἡ ἁρμονία τελειοῦται· γένεσις μὲν γὰρ
[illegible] ἐναντίων, ὑγροῦ, ξηροῦ, ψυχροῦ, θερμοῦ,
[illegible] δὲ οὐχ ὁμονοεῖ οὐδ' εἰς σύστασίν τινα συν-
[illegible] ἁρμονίας· ἁρμονιῶν δὲ ἀρίστη, πάντων
[illegible] τῶν συμφώνων λόγων, ἡ κατὰ τὸν λέ
[illegible] ὃς οὐ μόνον εἰς στερέωσιν καὶ τελειότητα
[illegible] ἐχθεῖσι δυσὶ κύβοις τριχῇ διαστατοῖς ἰσάκις συμπληροῦται, ἀλλὰ καὶ τῶν πρώτων
[illegible] ἴσων τοῖς ἰδίοις μέρεσιν ἴσων, δυνάμει
[illegible] ἐνεργείᾳ δὲ τοῦ στ' καὶ κή σύστημά ἐστι.
[illegible] τοῖς καὶ τῶν τὴν ἁρμονικὴν ἐπιδειξαμέ-
[illegible] ὡς θεωρίαν τῶν συμφωνιῶν σχέσεων
[illegible] τ' καὶ ή καὶ θ' καὶ ιβ', συγκεφαλαίω-
[illegible] τον δὲ τὸν λέ ἐναρμόνιον ὄντα καὶ
[illegible] ὸ πλευρῶν δύο περισσῶν περιεχό-

παρὰ τὴν τῆς θεοῦ φύσιν, εἰκὸς δέ, ὅτι καὶ ἡ ἑξὰς
39 τὰ τρία τῶν διαστάσεων κινήματα πρώτη ἔλαχε, διχόθεν πεπερασμένα ἀμφοτέραις καθ' ἕκαστον παραστάσεσι· διχρονίαν δὲ παρὰ τὴν ἀπονέμησιν τοῦ παντὸς χρόνου, ἣν ἑξὰς τῶν ὑπὲρ γῆν καὶ ὑπὸ γῆν ζωδίων διατελεῖ· ἢ ὅτι τῇ τριάδι προσωκειώθη ὁ χρόνος, τριμερὴς ὤν, διὰ δὲ δύο τριῶν ἡ ἑξάς. Παρὰ δὲ τὸ αὐτὸ καὶ Ἀμφιτρίτην ἐκάλουν αὐτήν, ἀμφὶς ἑαυτῆς δύο παρέχουσαν τριάδας· τὸ γὰρ ἀμφὶς κατὰ διχασμὸν χωρίου ἐστί. Τὸ δ' ἀγχίδικος ὄνομα καθ' ἁπλῆν ἔννοιαν προσήρμοζον αὐτῇ, ὅτι γείτων μάλιστα τῇ πενταδι ἡ ἑξάς. Θάλεια δὲ ἡ αὐτὴ διὰ τὴν τῶν ἑτέρων ἁρμονίαν, καὶ Πανάκεια διὰ τὰ περὶ ὑγείας προειρημένα εἰς αὐτήν, ἢ οἷον Πανάρκεια, ἀρκετῶς κεχορηγημένη τοῖς μέρεσιν εἰς τὴν ὁλότητα. Ὅτι ἑπτὰ τῶν σφαιρῶν οὐσῶν κατὰ τὴν ἑξάδα τὰ διαστήματά ἐστι· μονάδι γὰρ ἀεὶ ἐλάττων, καὶ τοῦ κύβου δέ, ὅ ἐστι, τῆς σωματότητος, ἓξ αἱ βάσεις τῶν τριῶν πέρατα οὖσαι διαστημάτων. Διὰ δὲ τὴν τοῦ κόσμου κατὰ τὴν ἑξάδα τελειότητα ἡ τοῦ δημιουργήσαντος θεοῦ ἀρετὴ ἑξαδικὴ δικαίως ἐνομίσθη· μόνη γὰρ πασῶν ἀρετῶν θεία καὶ τελεία ὡς ἀληθῶς ἀκρότης καὶ κατ' οὐδὲν μεσότητος κοινωνοῦσα ἡ σοφία ὑπάρχει, ἓν ἁπλοῦν ἀντίθετον ἔχουσα μόνην τὴν αὐτῆς στέρησιν τὴν ἀμαθίαν, τῷ μήτε ὑπερβάλλειν μήτε ἐλλείπειν· οὐδὲ ἄλλης μέν τινος ἄπεστιν ἀρετῆς, ἀλλὰ συνυπάρχει πάσαις ὡς θνηταῖς· αὕτη δὲ μόνη οὐ πλεονάζει διὰ τὴν ἑξάδος μετοχὴν οὔτε πλέον οὔτε ἔλαττον πρὸς τὰ μέρη, ἰσότητα δὲ πάντως ἐχούσης καὶ τούτου τελειότητα καὶ ὁλότητα, ᾗ κατείληπται ὁ σοφίᾳ θεοῦ καὶ προνοίᾳ μηχανηθεὶς κόσμος, αὐτός τε καὶ ἐπὶ μέρους ἐν αὐτῷ φυτὰ καὶ ζῶα, ὡς κἂν τοῖς περὶ ἑβδομάδος φανήσεται. Καὶ νῦν δέ, ἐφ' ὅσον ἑξάδι προσῆκεν, οὕτως ὁρατέον κατ' ἐπιδρομὴν ἀπὸ μονάδος ἐν τῷ Πυθαγορικῷ ὀρθογωνίῳ τριγώνῳ τὴν

πρόοδον ποιουμένοις· μία μὲν ἡ αὐτόθεν ὀρθὴ ἐν αὐτῷ γωνία· δύο δὲ ἄγισαι μὲν ἀλλήλαις, συναμφότεραι δὲ τῇ προλεχθείσῃ ἴσαι· καθὰ καὶ τῷ ἀπὸ τῆς ἐκείνην ὑποτεινούσης· τετραγώνῳ ἀμφότερα τὰ ἐφ' ἑκατέρας ἀναπλασσόμενα τῶν ἐκείνας ὑποτεινουσῶν· τρεῖς μὲν αἱ κατὰ τὴν ἐλάττονα τῶν περὶ τὴν ὀρθήν, τέσσαρες δὲ αἱ περὶ τὴν μείζονα, πέντε δὲ περὶ τὴν ὑποτείνουσαν, ἓξ δὲ αἱ τοῦ ἐμβαδοῦ, τουτέστι, αἱ τοῦ ἡμισεύματος τοῦ παραλληλογράμμου, ὅπερ ἡ τοῦ παραλληλογράμμου περιώρισε διάμετρος· ἀπὸ γὰρ μονάδος συνεχὴς μέχρις ἑξάδος ἡ πρόοδος, ἀπὸ δὲ ἑξάδος ἐπὶ τὸν διπλάσιον ἡ μουσική, ἀπὸ δὲ τούτων ἡ εἰς πάντα τὰ ὅπλα διατείνουσα καθάρμοσις, ἐπὶ δὲ γονιμότητος ἑπταμήνων καὶ ἐννεαμήνων καὶ μᾶλλον· ἐάν τε γὰρ κατὰ τὰ ψυχικὰ δύο ἀποχετεύματα διπλάσια καὶ τριπλάσια ἡ πρόβασις ἀπὸ ἑξάδος διὰ δωδεκάδος χωρῇ παραπλησίως, ἐάν τε διὰ ὀκτωκαιδεκάδος τριπλασίως συμπεπλήρωται ἕκαστον διάστημα, ὥστε δύο λαβεῖν μεσότητας, τὴν μὲν ταυτῷ μέρει τῶν ἄκρων αὐτῶν ὑπερέχουσάν τε καὶ ὑπερεχομένην ἡμιολίων τε καὶ ἐπιτρίτων διαστημάτων λόγους ἀναδέξασθαι, καθ' ἑκάτερον πάντως ἡ δηλουμένη φύσεται ζωογονία· ἐν μὲν γὰρ τῷ διπλασίῳ τῷ στ καὶ τῷ ιβ μεσασθέντων τοῦ η καὶ θ, καὶ τὰ λεχθέντα τρανῶς ἀποτελεσθήτω, τὸ ὁμοῦ πάντων σύστημα ὁ λέ ἑξάδι αὐξηθὲν ἑπτάμηνον χρόνον ἀποτελεῖ τὸν τῶν σί ἡμερῶν· ἐν δὲ τῷ στ καὶ ιή τὰ θ καὶ τὰ ιβ μεσεμβοληθέντα καὶ τὴν αὐτὴν ἐναλλὰξ ἁρμονικὴν σχέσιν ἀποδόντα, συγκεφαλαιωθέντα τὸν μὲ ἀποτελεῖ, ὃς τῇ αὐτῇ ἑξάδι αὐξηθεὶς τὸν τῶν θ μηνῶν ἀποδώσει ἀριθμόν, ἡμερῶν ὄντα σό, ὥστε ἀμφοτέρους τοὺς ζωογονικοὺς τούτους χρόνους ἠρτῆσθαι τῆς ἑξάδος, ὡς ἂν ψυχοειδοῦς· ἡ γοῦν πρώτη παρὰ Πλάτωνι ἐν τῇ ψυχογονίᾳ μοῖρα ἑξὰς διὰ τοῦτο ὡς εὐλογιώτερον τίθεται, διπλασία δὲ αὐτῆς ἡ δωδεκάς, τριπλασία δὲ ἡ ὀκτωκαιδεκὰς μέχρι τῆς

ρξβ' καὶ εἰκοσαπλασίας· ἐν γὰρ ταύταις ταῖς ποσότησιν ἡ τῶν δύο μεσοτήτων ἑνορᾶται φύσις πρώταις
41 ἐλαχίσταις ἥ τε τοῦ ἀναμέσου ἀμφοῖν ἐπογδόου διαστήματος. Ἐπεὶ δὲ ὁ ἀπὸ τοῦ στ' κύβος σιστ' γίνεται, ὁ ἐπὶ ἑπταμήνων γονίμων χρόνος, συναριθμουμένων ταῖς ἑπτὰ τῶν ἓξ ἡμερῶν, ἐν αἷς ἀφροῦταί καὶ διαφύσεις σπέρματος λαμβάνει τὸ σπέρμα, Ἀνδροκύδης δὲ ὁ Πυθαγορικὸς ὁ περὶ τῶν συμβόλων γράψας καὶ Εὐβουλίδης ὁ Πυθαγορικὸς καὶ Ἀριστόξενος καὶ Ἱππόβοτος καὶ Νεάνθης, οἱ κατὰ τὸν ἄνδρα ἀναγράψαντες, σιστ' ἔτεσι τὰς μετεμψυχώσεις τὰς αὐτῷ συμβεβηκυίας ἔφασαν γεγονέναι· μετὰ τοσαῦτα γοῦν ἔτη εἰς παλιγγενεσίαν ἐλθεῖν Πυθαγόραν καὶ ἀναζῆσαι ὡσανεὶ μετὰ τὴν πρώτην ἀνακύκλωσιν καὶ ἐπάνοδον τοῦ ἀπὸ ἓξ ψυχογονικοῦ κύβου, τοῦ δ' αὐτοῦ καὶ ἀποκαταστατικοῦ διὰ τὸ σφαιρικόν, ὡς δὲ καὶ ἄλλο διὰ τούτων ἀνάζησιν ἔσχε· ᾧ καὶ συμφωνεῖ τὸ Εὐφόρβου τὴν ψυχὴν ἐσχηκέναι, κατά τε τοὺς χρόνους· φ' γὰρ καὶ ιδ' ἔτη ἔγγιστα ἀπὸ τῶν Τρωϊκῶν ἱστορεῖται μέχρι Ξενοφάνους τοῦ φυσικοῦ καὶ τῶν Ἀνακρέοντός τε καὶ Πολυκράτους χρόνων καὶ τῆς ὑπὸ Ἅρπάγου τοῦ Μήδου Ἰώνων πολιορκίας καὶ ἀναστάσεως, ἣν Φωκεῖς φυγόντες Μασσαλίαν ᾤκισαν· πᾶσι γὰρ τούτοις ὁμόχρονος ὁ Πυθαγόρας· ὑπὸ Καμβύσου γοῦν ἱστορεῖται Αἴγυπτον ἑλόντος συνηχμαλωτίσθαι ἐκεῖ συνδιατρίβων τοῖς ἱερεῦσι, καὶ εἰς Βαβυλῶνα μετελθὼν τὰς βαρβαρικὰς τελετὰς μυηθῆναι, ὅτε Καμβύσης τῇ Πολυκράτους μέχρι τυραννίδι συνεχρόνει, ἣν φεύγων εἰς Αἴγυπτον μετῆλθε Πυθαγόρας. Δὶς οὖν ἀφαιρεθείσης τῆς περιόδου, τουτέστι, δὶς τῶν σιστ' ἐτῶν, λοιπὰ γίνεται τὰ τοῦ βίου αὐτοῦ πβ'. Τῆς οὖν τοῦ στ' ἀριθμοῦ φύσεως διατεινούσης πως εἰς ψυχῆς συγγένειαν καὶ εἰδοποίησιν, συλληπτικὰ ἂν καὶ τὰ ὑπὸ Πλάτωνος λεγόμενα εἰς τοῦτον τὸν τρόπον εὑρεθείη· τὸ γὰρ σύγκριμα, ἀφ' οὗ ἡ τῆς

ψυχογονίας διανομὴ καὶ τῶν μέχρις ἑπτακαιεικοσιπλασίων μοιρῶν ἀπόστασις, ἑξαδικὸν καὶ κατ' αὐτὴν ὑπάρχει εἰς οὐδὲν ἄλλο ἀπιδόντος ἢ εἰς αὐτὴν τὴν περὶ ἑξάδος ὑφ' ἡμῶν λεχθεῖσαν ἰδιότητα. Ἐπεὶ γὰρ αὕτη οὐ μόνον ἀρτιοπερίσσου τῆς μονάδος ἐναργές ἐστι πρὸς τῶν ἄλλων ὁμοίωμα, πρωτίστη ἐναντιωνυμούμενα καὶ ἀντωνυμοῦντα ἔχουσα τὰ μόρια (τρίτον μὲν β', ἥμισυ δὲ γ', ἕκτον ά, ὅλον δὲ στ'), ἀλλὰ καὶ τοῦ πρώτου κατ' ἐνέργειαν περισσοῦ καὶ τοῦ ὁμοίως ἀρτίου σύγκριμά ἐστιν ἅμα καὶ ἥμισυ διὰ τοῦτο μόνη ἀπὸ πάντων τῶν ἐκτὸς δεκάδος, ὥστε ὑπάρχειν τρανὲς τῆς ἀμερίστου οὐσίας καὶ τῆς μεριστῆς μίγμα, ἑτερομήκης δὲ ἄντικρυς πρὸ τῶν ἄλλων, δυάδος τοῦτο οὐκ εὐλόγως ἔχειν νομιζομένης, καὶ πρὸς τούτοις στερεὸς πρῶτος ἀριθμῶν πεφώραται καὶ σκαληνός, ἀλλ' οὐν τριχῇ διαστατός, διὰ τὰς μεσότητας ἡ ἐλαχίστη συμπασῶν, κατ' αὐτὴν τοῖς τε ἰδίοις μέρεσι τελείως ἐξεταζομένων. Εἰκότως διὰ πάντα ταῦτα τὸ κέρασμα ὁ Πλάτων συνεκεράσατο· πρῶτον μὲν τῆς τοῦ ἀμερίστου οὐσίας, δεύτερον δὲ τῆς μεριστῆς, τρίτον δὲ τοῦ ἐξ ἀμφοῖν, ἵνα δύο ὄντα τρίτα καθ' ἑκάτερον ὑπάρχῃ ἡ τριάς, κατὰ ἀντιδιαστολὴν διττά, ἴσων τῶν δὶς τρία ἢ τρὶς δύο, περισσὸν καὶ ἄρτιον καὶ ἀρτιοπέρισσον, τετράγωνος ἑτερομήκης. Ὅτι δὲ οὐδὲ ἐντὸς ἑξάδος δυνατὸν εὑρεῖν ἕτερον ἀριθμὸν τῶν τῆς ψυχῆς ἁρμονίας λόγων πάντων ἐπιδεκτικόν, καὶ Ἀριστοῖος ὁ Πυθαγορικὸς δείκνυσι. 42

ζ'. Περὶ ἑπτάδος Ἀνατολίου.

Ὅτι ὁ ἑπτὰ ἀμήτωρ καὶ παρθένος ἀπὸ μονάδος· συντεθεὶς τὸν κή ποιεῖ τέλειον· ἡμέραι σελήνης κή καθ' ἑβδομάδα συμπληρωθεῖσαι· ἀπὸ μονάδος ἑπτὰ ἀριθμοὶ ἐν διπλασίονι λόγῳ προσαυξηθέντες ποιοῦσι τὸν πρῶτον τετράγωνον ὁμοῦ καὶ κύβον τὸν ξδ', ά, β', δ', ή, ιστ', λβ', ξδ'· ἐν τριπλασίονι δὲ

λόγῳ προσανεηθέντες ἑπτὰ ἀριθμοὶ ποιοῦσι τὸν δεύτερον τετράγωνον καὶ κύβον τὸν ψκδ', ά, γ', ϑ', μζ', πά, σμγ', ψκθ'. Ἔτι ἑβδομὰς ἐκ τῶν τεσσάρων περάτων, σημείου, γραμμῆς, ἐπιφανείας, πάχους, σῶμα δείκνυσιν. Ὁ ζ' λέγεται τῆς πρώτης συμφωνίας ἀριθμὸς εἶναι τῆς διὰ δ', δγ', ἀναλογίας τε γεωμετρικῆς ά, β', δ'. Καλεῖται καὶ τελεσφόρος· γόνιμα γὰρ τὰ ἑπτάμηνα. Ἐν νόσοις κρίσιμος ἡ ἑβδομάς. Τοῦ πρωτοτύπου ὀρθογωνίου τριγώνου ὁ ζ' περιέχει τὰς περὶ τὴν ὀρθὴν γωνίαν πλευράς· τῶν γὰρ πλευρῶν ἡ μὲν δ', ἡ δὲ γ'. Πλάνητες ἑπτά· ἑπτὰ ὁρῶμεν, σῶμα, διάστασιν, σχῆμα, μέγεθος, χρῶμα, κίνησιν, στάσιν· κινήσεις ἑπτά, ἄνω, κάτω, πρόσω, ὀπίσω, δεξιά, ἀριστερά, μέσον. Ἐν κύκλοις Πλάτων ἐξ ἑπτὰ ἀριθμῶν συνέστησε τὴν ψυχήν. Πάντα φιλέβδομα, φωνήεντα ἑπτά, φωνῆς μεταβολαὶ ἑπτά, ἡλικίαι ἑπτά, ὡς φησιν Ἱπποκράτης· ἑπτά εἰσιν ὧραι, ἃς ἡλικίας καλέομεν, παιδίον, παῖς, μειράκιον, νεανίσκος, ἀνήρ, πρεσβύτης, γέρων· καὶ παιδίον μὲν ἄχρις ἑπτὰ ἐτέων, ὀδόντων ἐκβολή· παῖς δ' ἄχρις ἐκφύσιος ἐς τὰ δὶς ζ'· μειράκιον δ' ἄχρι γενείου λαχνώσεως ἐς τὰ τρὶς ζ'· νεανίσκος δ' ἔστ' αὐξήσεως ὅλου τοῦ σώματος ἐς τὰ τετράκις ζ'· πρεσβύτης δ' ἄχρις ἐτῶν νοτ' ἐς τὰ ἑπτάκις ἡ· τὸ δὲ ἐντεῦθεν γέρων.

Ἐκ τοῦ δευτέρου βιβλίου τῆς ἀριθμητικῆς τοῦ Γερασηνοῦ Νικομάχου.

Ἀγελεία μὲν λέγεται ἀπὸ τοῦ συνειλῆσθαι καὶ συνῆχθαι ἐνοειδῶς τὴν σύστασιν αὐτῆς, ἐπείπερ παντοίως ἄλυτος, πλὴν εἰς τὸ ὁμώνυμον· ἢ ἀπὸ τοῦ πάντα ἀγαγέναι δι' αὐτῆς τὰ φυσικὰ ἀποτελέσματα εἰς τελείωσιν· ἢ μᾶλλον, ὃ καὶ Πυθαγορικώτερον, ἐπειδὴ καὶ Βαβυλωνίων οἱ δοκιμώτατοι

καὶ Ὀστάνης καὶ Ζωροάστρης ἀγέλας κυρίως καλοῦσι
τὰς ἀστρικὰς σφαίρας, ἤτοι παρ' ὅσον τελείως
ἄγονται περὶ τὸ κέντρον μόναι παρὰ τὰ σωματικὰ
μεγέθη· ἢ ἀπὸ τοῦ σύνδεσμοί πως καὶ συναγωγαὶ
χρηματίζειν δογματίζεσθαι παρ' αὐτῶν τῶν φυσικῶν 44
λόγων, ἃς ἀγέλους κατὰ τὰ αὐτὰ καλοῦσιν ἐν τοῖς
ἱεροῖς λόγοις, κατὰ παρέμπτωσιν δὲ τοῦ γάμμα
ἐφθαρμένως ἀγγέλους· διὸ καὶ τοὺς καθ' ἑκάστην
τούτων τῶν ἀγγέλων ἐξάρχοντας ἀστέρας καὶ δαίμο-
νας ὁμοίως ἀγγέλους καὶ ἀρχαγγέλους προσαγορεύε-
σθαι, οἵπερ εἰσὶν ἑπτὰ τὸν ἀριθμόν, ὥστε ἀγγελίαι
κατὰ τοῦτο ἐτυμότατα ἡ ἑβδομάς. Μή τι δὲ καὶ
φυλακῖτις ἡ αὐτὴ ἐκ τοῦ αὐτοῦ· οὐ γὰρ μόνον
παρὰ τὸν τῶν φυλάκων ἀριθμὸν ἔπ' ἔσονται ἡγε-
μόνες, ἀλλὰ καὶ ὅτι οἱ φυλάσσοντες τὸ πᾶν καὶ ἐν
συνοχῇ καὶ αἰωνίῳ μονῇ διακρατοῦντες τοσοῦτοί εἰ-
σιν ἀστέρες. Ὅτι τὴν ἑπτάδα οἱ Πυθαγορικοὶ οὐχ
ὁμοίως τοῖς ἄλλοις φασὶν ἀριθμοῖς, ἀλλὰ σεβασμοῦ
φασὶν ἀξίαν· ἀμέλει σεπτάδα προσηγόρευον αὐτήν,
καθὰ καὶ Πρῶρος ὁ Πυθαγορικὸς ἐν τῷ περὶ τῆς
ἑβδομάδος φησί· διὸ καὶ ἐξεπίτηδες τὸν ἓξ διὰ τῆς
ἐκφωνήσεως τοῦ κάππα καὶ σίγμα (ταῦτα γὰρ ἐν τῷ
ξι συνεξακούεται) ἐκφέρουσιν, ἵνα ἐν τῇ συνεχεῖ
καθ' εἱρμὸν ἐπιφορᾷ τὸ σίγμα συνάπτηται τῷ ἑπτά,
ὥστε λελῆθότως ἐκφωνεῖσθαι σεπτά. Τοῦ δὲ σεβά-
σμιον εἶναι τὸν ἕβδομον ἀριθμὸν αἰτία ἥδε· ἡ τοῦ
κοσμοποιοῦ θεοῦ πρόνοια τὰ ὄντα πάντα ἀπειργά-
σατο, γενέσεως μὲν ἀρχὴν καὶ ῥίζαν ἀπὸ τοῦ πρω-
τογόνου ἑνὸς ποιησαμένη τοῦ πάντα εἰς ἀπόμαξιν
καὶ ἀφομοίωσιν ἰόντος ἀνωτάτου καλοῦ, συμπληρώ-
σεως δὲ τελείωσιν καὶ κατάκλεισιν ἐν αὐτῇ τῇ δε-
κάδι. Ὄργανον δέ τι καὶ ἄρθρον τὸ κυριώτατον καὶ
τῆς ἀπεργασίας τὸ κράτος ἀπειληφὸς τὴν ἑβδομάδα
νομιστέον τῷ κοσμοποιῷ θεῷ ὑπάρξαι· μεσότης γάρ
τις φυσικὴ καὶ οὐχ ἡμῶν θεμένων ἡ ἑβδομὰς μονά-
δος καὶ δεκάδος· αἱ δὲ ἴδιαι μεσότητες κυριώτεραι

πως τῶν ἄκρων ὑπάρχουσι· πρὸς αὐτὴν γὰρ ἑκατέρωθεν οἱ λόγοι συννεύουσιν, οὐ μόνον οὖν, ὅτι, ἐπειδὴ κατ' ἀριθμητικὴν ἴσην σχέσιν μεσιτεύουσι μονάδος καὶ δεκάδος ὁ δ' καὶ ζ', ἴσον τῇ τῶν ἄκρων
45 συνθέσει τὸ ἀμφοτέρων αὐτῶν σύστημα παρέχοντες, ὅσῳ πλεονάζει τοῦ ἑνὸς ὁ δ', τοσούτῳ τοῦ δέκα ὁ ζ' λειπόμενος, καὶ ἐναλλάξ, ὅσῳ τοῦ ἑ ὁ δ' λείπεται, τοσούτῳ τοῦ ά ὁ ζ' πλεονάζων, ἀλλὰ καὶ ὅτι τὰ μὲν ἀπὸ μονάδος μέχρι τετράδος δυνάμει δέκα ἐστί, ἐνεργείᾳ δὲ αὐτὸ τοῦτο ἡ δεκάς, ὁ δὲ ζ' ἀριθμητικὴ μεσότης τετράδος καὶ δεκάδος, τρόπον τινὰ δύο δεκάδων, τῆς μὲν δυνάμει, τῆς δὲ ἐνεργείᾳ, ὑποδιπλάσιος ὢν τῆς ἀμφοῖν συνθέσεως. Ἔτι δὲ καὶ ἀκρόπολίς τις ὡσανεὶ καὶ δυσχείρωτον ῥεῦμα μονάδι ἀσχίστῳ κατὰ τοῦτο ἡ ἑβδομὰς ἐν τῇ δεκάδι φαίνεται· μονωτάτη γὰρ οὔτε πλάτος ἐπιδέχεται εὐθυμετρικὴ οὖσα καὶ μόνου τοῦ ὁμωνύμου ἐπιδεκτικὴ μέρους, οὔτε μὴν μιγνυμένη τινὶ τῶν ἐντὸς δεκάδος τινὰ τῶν ἐν αὐτῇ γεννᾷ, οὔτε μιγέντων τινῶν τῶν μέχρι δεκάδος γεννᾶται· λόγον δὲ ἴδιον ἔχουσα καὶ ἀκοινώνητον καιριώτατα τέτακται· διὸ πολλὰ συντυγχάνει ἐν τοῖς κοσμικοῖς οὐρανίοις τε καὶ περιγείοις, ἀστράσι καὶ ζώοις καὶ φυτοῖς, κατ' αὐτὴν ἀποτελεῖσθαι. Τοιγαροῦν τύχη τε ὡς πᾶσι παρεπομένη τοῖς ἀποβαίνουσιν ὀνομάζεται καὶ καιρὸς ἐπὶ τούτῳ, διότι καιριωτάτης τέτευχε χωρίας καὶ φύσεως. Μέγα δὲ τεκμήριον τοῦ λόγου καὶ τὸ ἐν ταῖς σφαίραις· ὀγδόην μέν γε τὴν ἄνωθεν, τρίτην δὲ κάτωθεν σεληνιακὴν ὑπάρχουσαν τὴν τῶν περὶ γῆν ἀποτελεσμάτων ἀποτέλεσιν καὶ ἐξουσίαν ἀποφέρεσθαι, μεσαίχμιον νοουμένην τῶν τε ἄνωθεν καὶ τῶν κάτωθεν· καὶ αὐτὴ γὰρ ἑβδομάδι πρὸς ταῦτα ἐπιχρωμένη φαίνεται συλλαμβάνουσα μέν πως ὡς ὑπ' ἀσπίστου τῆς τετράδος· καὶ αὐτὴ γὰρ ἐν δεκάδι μεσότης ὤφθη σὺν αὐτῇ τῇ ἑβδομάδι· ἀναγκαίως τελεσιουργία καὶ συμπλήρωσις τοῖς οὖσιν ἀποτελεῖται

δι' ἀμφοτέρων τῶν ἀριθμῶν, ἐπειδὴ καὶ ὁ κή, τέλειος τοῖς ἑαυτοῦ μέρεσιν ὤν, ἀμφοτέρων ἐγκραθέντων ἔργον ἐστί· τετράκις γάρ, συλλαμβανούσης δὲ πολύ τι πλέον τῆς ἑβδομάδος· ἡ γὰρ ἀπὸ μονάδος μέχρι αὐτῆς σύνθεσις ἀποτελεῖ αὐτόν. Ἑπτά- 46
ωροι οὖν αἱ τέσσαρες σεληνιακαὶ φάσεις ὑπάρχουσαι συμπληροῦσιν εὐλόγως τὸν τοῦ ἀστέρος τούτου μῆνα, ἡμερῶν ὄντα ἔγγιστα κθ'. Συλλογίσασθαι δὲ δεῖ καὶ τὰς ἑπτὰ σχηματικὰς μορφὰς τῆς σελήνης τετράδι, μηνοειδῆ, διχότομον, ἀμφίκυρτον, πανσέληνον, πάλιν ἄλλον ἀμφίκυρτον, ἐκ θατέρου μέρους φωτιζομένης αὐτῆς, καὶ πάλιν διχότομον κατὰ ταυτά, καὶ ἄλλην μηνοειδῆ. Διατιθέμενον δὲ καὶ τὸν ὠκεανὸν ὑπ' αὐτῆς κατὰ τοὺς ἑβδομαδικοὺς ἀριθμοὺς ὁρῶμεν· ἐν νουμηνίᾳ μὲν μέγιστος ἐν τῷ πλημμυρεῖν ὁρᾶται, δευτέρᾳ δὲ βραχὺ ὑποβεβηκώς, τρίτῃ ἔτι ἐλάσσων, καὶ κατὰ τὸ ἑξῆς ἡ ἀνοίδησις πλημμυρίδος ἔτι μᾶλλον μειοῦται μέχρι τῆς ἑβδόμης, ἥτις διχότομον τὴν σελήνην ἐπιδείκνυσιν· τὸ δ' αὖ ἀπὸ ταύτης ἐν τῇ ὀγδόῃ ἴσως πάλιν γίνεται τῇ ἑβδόμῃ, τουτέστι, ἡ αὐτὴ δυνάμει, ἐν δὲ τῇ θ', οἷα περ ἐπὶ τῆς στ', δεκάτῃ δέ, οἵα ἐπὶ τῆς ε, καὶ τῇ ια, οἵα ἐν τῇ δ', τῇ δὲ ιβ', οἵα ἐν τῇ γ', τῇ δὲ ιγ', οἵα ἐν τῇ β', τῇ δὲ ιδ', οἵα ἐν τῇ πρώτῃ. Εἶτα ἀπ' ἄλλης ἀρχῆς ἡ τρίτη ἑβδομὰς τὰς αὐτὰς διαθέσεις ποιεῖ τῇ ὑδατικῇ σφαίρᾳ, ἃς ἡ πρώτη· ἡ δὲ δ', ἃς ἡ β'· οὐ γὰρ δεῖ νῦν ὀστρέων τε καὶ ἐγκεφάλων καὶ μυελῶν μανθάνησιν καὶ τῶν πλείστων ζώων τὴν συμπάθειαν ἐπεξιέναι τὴν πρὸς τὸ ἄστρον τοῦτο, ὁπότε ἐξ αὐτῶν τοῖς ἀνθρώποις συμβαινόντων αὐτάρκως δυνάμεθα πειραθῆναι περὶ τῶν λεγομένων. Πρῶτον μὲν αἱ καθάρσεις ταῖς γυναιξὶ διὰ τῶν προλεχθεισῶν ἑβδομαδικῶν περιόδων γίνονται, παρ' αὐτὸ τοῦτο πρός τινων ἔμμηνα καὶ καταμήνια καλούμενα· εἶτα ἑπτάκις ὁ γόνος ὡς ἐπίπαν τῷ ἄρρενι θόρνυται, εἰς τὴν γυναικείαν μήτραν, ἑπτὰ δὲ ὥραις ταῖς πλεί-

σταις ἤτοι προεπλάσσεται εἰς ζωογόνησιν, τὸ νοσι-
μώτερον αὐτοῦ ἢ ἀπολισθαίνει· καθάπερ ἀμέλει καὶ
ἀντιστρόφως ἀπὸ τῆς φυσικῆς τοῦ ἐμβρύου ὀμφαλο-
τομίας εἰς τὴν τῆς ἐξόδου ἐπίδειξιν ἑπτὰ ὡρῶν οὐκ
47 ἐντὸς διάστημα ἀναλύεται, ἐν αἷς συμμέτρως ἱκα-
νὸν ἀντέχειν τὸ κύημα, οὔτε τῇ ἀπὸ τοῦ ὀμφαλοῦ
τροφῇ διακρατεῖσθαι ἔχον ἔτι ὡς φυτὸν ἢ μέρος,
οὔτε πω τῇ θύραθεν εἰσπνοῇ ὡς ζῶον ἤδη ἀπροσάρ-
τητον καὶ αὐτοτελές, ἡμέραις δὲ ἑπτὰ φύσει τινὶ
ὑμενώδει ὑδροδόκῳ ὁμοιοῦται, καθάπερ καὶ ὁ ἰα-
τρὸς Ἱπποκράτης συναινεῖ λέγων ἐν τῷ περὶ παιδίου
φύσεως· γυναικὸς οἰκείης ἡμῖν μουσουρ-
γὸς ἀγαθή, κάρτα καὶ πολύτιμος, ἥ
κρὸς ἄνδρα φοιτέουσα, οὐκ ἔθελε δὲ λα-
βεῖν ἐν γαστρί, ἵνα μὴ ἀτιμοτέρη τοῖς
ἐρασταῖς εἴη· ἠκηκόει δὲ ἡ μουσουργός,
οἷάπερ αἱ γυναῖκες πρὸς ἀλλήλας λέγου-
σιν, ὅτι, ἐπειδὰν μέλλῃ ἡ γυνὴ συλλήψε-
σθαι ἐν γαστρί, οὐκ ἐξέρχεται ἡ γονή,
ἀλλ' ἐμμένει, ταῦτα ἀκούσασα συνῆκε·
καί που ἤσθετο οὐκ ἐξελθοῦσαν τὴν γο-
νὴν ἅπασαν ἀφ' ἑαυτῆς καὶ ἔφραδε τῇ
δεσποίνῃ, καὶ ὁ λόγος ἦλθεν εἰς ἐμέ· κἀ-
γὼ ἀκούσας ἑβδομαίαν οὖσαν ἐπέτρεψα
πρὸς γῆν ὑψηλὰ πηδᾶν· ἑπτὰ δέ οἱ ἐπε-
πήδητο, καὶ ἐξῆλθεν αὐτὴ ἡ γονή, καὶ
ψόφος ἐγένετο· οἷον δὲ ἦν τὸ ἐκθορόν,
ἐγὼ ἐρέω· οἷον εἴ τις ὠοῦ τὸ ἔξωθεν λέ-
πυρον περιέλοι, ἐν δὲ τῷ ἐσωτάτῳ ὑμένι
τὸ ὑγρὸν διαφαίνοιτο. Καὶ τάδε μὲν Ἱππο-
κράτης. Στράτων δὲ ὁ Περιπατητικὸς καὶ Διοκλῆς
ὁ Καρύστιος καὶ πολλοὶ ἕτεροι τῶν ἰατρῶν ἐν μὲν
τῇ δευτέρᾳ ἑβδομάδι ῥανίδας αἵματος ἐπιφαίνεσθαι
τῷ λεχθέντι ὑμένι φασὶν ἐκ τῆς ἐξωτέρας ἐπιπλοκῆς,
ἐν δὲ τῇ τρίτῃ διϊκνεῖσθαι τὸ ὑγρόν φασι, καὶ μέσον
ὡς σαρκός τι καὶ αἵματος σύστρεμμα ἴσχειν, δηλον-

ότι τελεσιουργίας τυχὸν διὰ τὴν τοῦ κή τελείαν φύσιν, ἢ διὰ τὴν ἐν αὐτῷ τῶν δύο περιττῶν κύβων περαινούσης οὐσίας ὑπαρχόντων σύνθεσιν· ἐν δὲ τῷ ε κατὰ τὴν λ' μάλιστα καὶ πέμπτην ἡμέραν διαπλάττεσθαι ἐν μέσῳ αὐτῷ, μελίττης μὲν μεγέθει ἐοικὸς τὸ βρέφος, διατετρανωμένον δὲ ὅμως, ὥστε κεφαλὴν καὶ αὐχένα καὶ θώρακα καὶ κῶλα ὁλοσχερέστερον φαντάζεσθαι ἐν αὐτῷ· καὶ τοῦτό φασι ζ' μησὶ γόνιμον εἶναι· εἰ δ' ἐννέα μέλλει γενήσεσθαι, τῇ στ' 48
πάσχει τοῦτο ἑβδομάδι, ἂν θῆλυ ᾖ, ἂν δὲ ἄρσεν, τῇ ζ'· τῆς δὲ γονιμότητος αἰτίαν μάλιστα τὴν ἑβδομάδα ὑπάρχειν, δηλοῖ τὸ καὶ τὰ ἑπταμηνιαῖα δι' αὐτὴν ζώσιμα οὐκ ἔλαττον τῶν ἐννεαμηνιαίων γίνεσθαι, διαφθείρεσθαι δὲ ὑπὸ τῆς φυσικῆς ἀνάγκης τὰ ἀμφοῖν μέσα τεταγμένα ὀκταμηνιαῖα· ὃ διὰ τοιούτου τινὸς ἐπιλογισμοῦ συνεβίβαζον οἱ Πυθαγορικοί, δι' ἀριθμητικῶν λόγων καὶ διαγραμμάτων τὴν ἔφοδον ποιούμενοι· τοὺς ἀπὸ τῶν δύο ἐλαχίστων ἀριθμῶν πυθμένας κύβους τοῦ τε β' καὶ τοῦ γ' τὸν ή καὶ τὸν κζ' συντιθέντες ποιοῦσι τὸν λέ, ἐν ᾧ μάλιστα συμβέβηκε τοὺς τῶν συμφωνιῶν ὁρᾶσθαι λόγους, δι' ὧν ἡ ἁρμονία τελειοῦται· γένεσις μὲν γὰρ πᾶσα ἐξ ἐναντίων, ὑγροῦ, ξηροῦ, ψυχροῦ, θερμοῦ, ἐναντία δὲ οὐχ ὁμονοεῖ οὐδ' εἰς σύστασίν τινα συντρέχει δίχα ἁρμονίας· ἁρμονιῶν δὲ ἀρίστη, πάντων ἐπιδεκτικὴ τῶν συμφώνων λόγων, ἡ κατὰ τὸν λέ ἀριθμόν, ὃς οὐ μόνον εἰς στερέωσιν καὶ τελειότητα τοῖς προλεχθεῖσι δυσὶ κύβοις τριχῇ διαστατοῖς ἰσάκις ἴσα ἰσάκις συμπληροῦται, ἀλλὰ καὶ τῶν πρώτων τριῶν τελείων τῶν τοῖς ἰδίοις μέρεσιν ἴσων, δυνάμεις μὲν τοῦ ά, ἐνεργείᾳ δὲ τοῦ στ' καὶ κή σύστημά ἐστι. Πρὸς δὲ τούτοις καὶ τῶν τὴν ἁρμονικὴν ἐπιδειξαμένων πυθμενικῶς θεωρίαν τῶν συμφωνιῶν σχέσεων ἁπασῶν, τοῦ στ' καὶ ή καὶ θ' καὶ ιβ', συγκεφαλαίωμά ἐστι. Τοῦτον δὲ τὸν λέ ἐναρμόνιον ὄντα καὶ τελεστικώτατον ὑπὸ πλευρῶν δύο περισσῶν περιεχό-

μενον παραλληλόγραμμον, τῆς έ καὶ ζ', ψυχογονικὸν γενέσθαι, εἰ τὴν τρίτην διάστασιν τῷ στ' μηνυθεὶς αὐξηθείη (ψυχῇ γὰρ οἰκειότατος ὁ στ'), προαπεδείχθη, ὅτι ποιότης μὲν καὶ χροιὰ καὶ φῶς μετὰ τὰ σωματικὰ μεγέθη τριχῇ διαστάντα ὤφθη κατὰ τὴν πενταάδα, ψύχωσις δὲ καὶ ἕξις ζωτικὴ κατὰ τὴν ἑξάδα, διὰ τοῦτο ὠνομασμένην, τελείωσις δὲ καὶ διανόησις κατὰ τὴν ἑβδομάδα· ὅπερ οὖν ἐκ τοῦ
49 πεντάκις ἓξ ἑπτάκις, ἑπτάκις ἓξ πεντάκις ἀποτελεῖται, τοῦτο δηλονότι καὶ ἐκ τοῦ πεντάκις ἑπτὰ ἑξάκις ἀποβαίη ἄν, σύμπαντα δὲ σί. Ἐν ὅσαις ἡμέραις οἱ ἑπταμήνιοι ζωογονοῦνται πάρεξ τῶν ἓξ ἡμερῶν, δι' ὅσων ἡ τοῦ ὑγροφόρου ὑμένος σύστασις ἐδείχθη πρώτιστα φαίνεσθαι, σὺν δ' ἐκείναις κύβος ἂν εἴη ἀποκαταστατικὸς καὶ σφαιρικός, ὃς ἀποτελειοῦται τοῖς οἰκείοις μέρεσιν ἴσον τοῦ ἓξ ψυχικοῦ ἀριθμοῦ. Καὶ Διοκλῆς δὲ ἐξαπλασιασθέντων τῶν λέ γίνεσθαί φησι στερεὸν τὸν σί, ὅσαιπερ εἰσιν εἰς τοὺς ἑπτὰ μῆνας ἡμέραι τοὺς τριακονθημέρους, Ἱπποκράτης δὲ τὰ ἐν ὁ ἡμέραις κινούμενά φησι ἐν τριπλασίῃσι τελειοῦσθαι· καὶ κατὰ τοῦτον γὰρ αἱ μὲν ὁ τριπλασιασθεῖσαι τοῦ σί πρητικαί εἰσιν, αἱ δὲ ς' τρῦ σό, ἑπταμήνου καὶ ἐννεαμήνου. Ὅτι καὶ τὰ σπέρματα πάντα ὑπὲρ γῆν ἀναφαίνεται δι' ἑβδόμης μάλιστα ἡμέρας ἐκφυόμενα, καὶ ἑπτάκαυλα ὡς ἐπίπαν τὰ πλεῖστα γίνεται, τὰ δὲ βρέφη ὥσπερ ἐσπάρη τε καὶ κατὰ γαστρὸς ἑβδομάδι διῳκήθη, οὕτω καὶ μετὰ τὴν γένεσιν ἑπτὰ μὲν ὥραις τὴν κρίσιν ἴσχει τοῦ ζῆν ἢ μή· ἐμπνέοντα γὰρ πάντα τῆς μήτρας ἐξέρχεται τὰ τελεσφόρα καὶ οὐ νεκρὰ ἀποκυηθέντα, πρὸς δὲ τὴν τοῦ ἀναπνεομένου ἀέρος παραδοχήν, ὑφ' οὗ τονοῦται τὸ τῆς ψυχῆς εἶδος, κρισιμωτάτη βεβαιοῦται τῇ ζ' ὥρᾳ ἐπὶ θάτερον, ἢ ζωὴν ἢ θάνατον. Ἑπτὰ δὲ μησὶν ὀδοντοφυεῖ, δὶς δὲ ἑπτὰ ἀνακαθίζει καὶ ἕδρας ἀκλινοῦς τυγχάνει, τρὶς δὲ ἑπτὰ διαρθροῦν ἄρχεται τὸ φθέγμα, καὶ καλεῖν τὰς πρώτας ὁρμὰς

ἐπιβάλλεται, τετράκις δὲ ἑπτὰ ἵστανται μὴ σφαλλόμενα, καὶ διαβαίνειν ἐπιχειρεῖ, πεντάκις δὲ ἑπτὰ παύεται τῆς τοῦ γάλακτος τροφῆς φυσικῶς ἀποδιατιθέμενα· ἑπτὰ δὲ ἔτεσιν ἀποβάλλει τοὺς φυσικοὺς ὀδόντας καὶ ἀναφύει τοὺς πρὸς τὴν σκληρὰν τροφὴν ἐπιτηδείους, δὶς δὲ ἑπτὰ ἡβάσκει καὶ ὥσπερ διηρθρωμένως ἔτυχε τοῦ παντὸς προφορικοῦ λόγου· ἐν τῇ προτέρᾳ τῶν ἑπτῶν ἑβδομάδι τοσούτων φύσει ὑπαρχόντων καὶ τῶν εἰς τὸ τοιοῦτον ἐπιτηδείων ἁπλῶν φθεγμάτων, οὕτως ἄρχεται ταῖς τοῦ ἐνδιαθέτου ἐπιβάλλειν διαρθρώσεσιν, καθὸ λογικὸν ἤδη ὑπάρχει ζῶον, ἑπτὰ κατὰ πολλοὺς τῶν φιλοσόφων ὑπαρχουσῶν τῶν τὸ λογικὸν συνασκουσῶν αἰσθήσεων, καὶ τότε μάλιστα συμπληρουμένων· πρὸς γὰρ ταῖς τεθρυλλημέναις ἕ ἔτι καὶ τὴν φωνητικὴν καὶ σπερματικὴν καταριθμοῦσιν ἔνιοι, αὕτη δὲ τότε συμπληροῦται αὐτοῖς, ὅτε τὸ σπερματικὸν φυσικῶς ἅπασι κινεῖται, ἄῤῥεσι μὲν διὰ γονῆς, θηλείαις δὲ δι' ἐμμήνου καθάρσεως· διόπερ ζωογονητικῆς ἐπιτηδειότητος τότε μόνον κατάρχονται, καὶ Βαβυλωνίοις οὐδὲ θρησκεύονται οὐδὲ τῆς αὐτῶν ἱερατικῆς σοφίας μετέχουσιν, ἀλλ' ἀποκλείονται τῶν ἐνταῦθα μνημάτων ἐντὸς τούτου τοῦ χρόνου. Ἐπεὶ δὲ καὶ τίκτειν τῷ ἑξῆς ἔνεστι χρόνῳ καὶ ἀνθ' αὐτῶν ἀμείβειν εἰς τὴν κοσμικὴν συμπλήρωσιν ἄνθρωπον, εἰκότως γενεὰν τὴν συμμετρωτάτην οἱ ποιηταὶ τὴν τριακονταετῆ τίθενται, ἐν ᾗ τέκνον ἐστὶν ἰδεῖν· καὶ κατὰ τὴν ἐν τριάδι τελείωσιν διὰ τριῶν ἡ διαδοχὴ γίνεται διὰ πατρός, υἱοῦ, ἐγγόνου· τῇ δὲ τρίτῃ ἑβδομάδι συλλήβδην καὶ τὴν ἐπὶ μῆκος αὔξησιν ἀπολαμβάνει, τῇ δὲ τετάρτῃ τὴν ἐπὶ πλάτος τελειοῦται, καὶ οὐδεμία ἄλλη αὐτοῖς ἀπολείπεται σώματος ἐπίδοσις· τέλειος γὰρ ὁ κή, τῇ δὲ ε κατὰ τὸν ἁρμονικὸν ἀποδειχθέντα τὸν λε καὶ ἡ κατὰ ἰσχὺν πᾶσα ἐπίδοσις ἀποστραγγίζεται, καὶ οὐκέτι οἷόν τε ἑαυτοῦ ἰσχυρότερον μετὰ ταῦτα τὰ ἔτη γενέσθαι. Διὰ

τοῦτο οἱ ἀθληταὶ τοσοῦτοι γενόμενοι οἱ μὲν ἤδη νε-
νικηκότες πλέον τι πρᾶξαι οὐ προσδοκῶσιν, οἱ δὲ
μήπω καταλύουσι. Καὶ αἱ τῶν βελτίστων πολι-
τειῶν νομοθεσίαι μέχρι μὲν ταύτης στρατεύεσθαι
ἀναγκάζουσιν, εἰσὶ δὲ καὶ αἱ μέχρι τῆς μετ' αὐτήν·
τὸ δὲ μετὰ ταῦτο στρατηγεῖν μέν, οὐκέτι δὲ τὸ
στρατεύεσθαι συγχωροῦσιν. Τὸ δὲ κεφάλαιον, ὅταν
ὁ τῆς δεκάδος λόγος τῷ τῆς ἑβδομάδος περασθῇ καὶ
δεκάκις ἑπτὰ γένηται, τότε πάντων ἔργων ἀφετέον
51 τῷ ἀνθρώπῳ, καθοσιωτέον δὲ τῇ τῆς λεγομένης εὐ-
δαιμονίας ἀπολαύσει. Ὅτι εἰς τέσσαρα τὰ πάντα
στοιχεῖα, τρεῖς δὲ αὐτῶν ἀναγκαίως αἱ μεταξύτητες,
ἑβδομὰς ἂν κἀνταῦθα ἐπικρατοίη τῶν ὅλων· διο καὶ
Λίνος ὁ θεόλογος ἐν τῷ πρὸς Ἡμέναιον δευτέρῳ
θεολογικῷ φαίνεται λέγων· Τέσσαρες ἀρχαὶ
ἅπασιν τρισσοῖς δεσμοῖς κρατοῦνται.
Πῦρ μὲν γὰρ καὶ γῇ συνηρμόσθησαν ἀλλήλοις κατὰ
τὴν γεωμετρικὴν ἀναλογίαν· ὃ πρὸς ἀέρα γῇ, τοῦθ'
ὕδωρ πρὸς πῦρ, καὶ ἀνάπαλιν ὃ πρὸς ἀέρα πῦρ,
τοῦθ' ὕδωρ πρὸς γῆν, καὶ τὸ ἐναντίον· τῶν δὲ τοι-
ούτων ἑνωτικαί πως αἱ ἁρμονίαι, μεταξὺ δὲ ἀέρος
καὶ πυρὸς πειθώ· κατ' ἔφεσιν γὰρ καὶ ἀπόμαξιν ἀφο-
μοιοῦται τὰ ἀπὸ ἀέρος μέχρι γῆς τοῖς οὐρανίοις καὶ
ἀεὶ κατὰ τὰ αὐτὰ ὡσαύτως ἔχουσι, πειθόμενά πως
καὶ ποδηγούμενα τῇ τοῦ ἀρχεγόνου καὶ πάντα ἔλκον-
τος ἐφ' ἑαυτὸ κάλλους φύσει. Ὅτι πρὸς τοῖς ἄλλοις
τῇ ἑβδομάδι ὑπάρχει τὸ κρισιμωτάτην εἶναι αὐτήν,
ὥσπερ ἐν τῇ κυοφορήσει καὶ ἐν ταῖς τῆς ἀνατροφῆς
ἡλικίαις. Οὕτως δὲ καὶ ἐν ταῖς νόσοις καὶ ταῖς ὑγείαις
διὰ τὸ συγγενεστάτην αὐτὴν καὶ ὁμόφυτον εἶναι τῇ
τοῦ ἀνθρώπου κατασκευῇ· σπλάγχνα τε γὰρ τὰ λε-
γόμενα μέλη ἑπτὰ κατ' αὐτὴν ἐμπέφυκεν ἡμῖν, γλῶτ-
τα, καρδία, ἧπαρ, πνεύμων, σπλήν, νέφροι δύο,
καὶ τὰ καθολικὰ μέρη τοσαῦτα, ἅπερ ἐστὶ κεφαλή,
θώραξ, χεῖρες δύο, πόδες δύο καὶ αἰδοῖον· κατὰ
μέρος δὲ διατρήσεις ἐν μὲν τῷ προσώπῳ ζ', ὀφθαλ-

μῶν δύο, ὠτῶν δύο, ῥινῶν δύο, στόματος ἀ· τά τε πνοὴν καὶ τροφὴν διαφέροντα ζ, φάρυγξ, στόμαχος, γαστήρ, ἔντερον, μεσεντέριον, κύστις, καὶ τὸ πρὸς τῇ ἕδρᾳ, ὃ τινες ἀρχὸν καλοῦσιν, ὅτι μηδενὸς τρέφοντος ἐντεθέντος ζ ἡμέρας οἷόν τε ζῆν. Καὶ ἐν γεωμετρικαῖς σκέψεσιν ἑπτὰ εἴδη τῶν παρ' αὐτοῖς ἀρχῶν, σημεῖον, γραμμή, ἐπιφάνεια, γωνία, σχῆμα, στερεόν, ἐπίπεδον· καὶ ἑπτὰ τῶν στοιχειωτῶν ἐξετάσεις ἐπιδεχομένων πληροῦνται· τριγώνου γὰρ γωνίαι τρεῖς, καὶ πλευραὶ ἴσαι, καὶ αὐτὸ τὸ ἐμβαδὸν ἕν, πολὺ δὲ πλέον, ὅτι τὰ σημειω- 52
τικὰ δι' ἑβδομάδος κρατύνεται, ἢ ἐπὶ τὸ νοσερὸν ἢ ἐπὶ τὸ ὑγιεινὸν ῥέποντα· εἰς γὰρ τὴν ἑβδόμην ἡμέραν μόνην τῶν ἐντὸς αὐτῆς οἱ πυρεκτικοὶ πάντες τύποι συναντῶσι· διὸ καὶ κρίσεως ἐνταῦθα τυγχάνουσιν. Ὁ δὲ τῆς ἀποδείξεως τρόπος ἁπλοῦς εἰκότως τῷ πρὸ βραχέος ἀπὸ μονάδος παντοίων ἀναλόγων ἐκθέσεων ἰδιώματι, ἐν ᾧ κύβων μὲν ἅμα καὶ τετραγώνων ἡ ἀ καὶ ζ χώρα μόνη ἐπιδεκτικὴ ἡμῖν ἐφάνη, τετραγώνων δὲ μόνων πέμπτη καὶ τρίτη, β καὶ στ' οὐδετέρων, ὡς οὐδὲ τριταίου οὐδὲ τεταρταίου ἐν τοῖς πυρεκτικοῖς τύποις. Ἰδοὺ γὰρ τοῦ μὲν λεγομένου τριταίου τετραγώνῳ μάλιστα ὁμοιουμένου διὰ τὸ ἐπιπέδων τριγώνων κατάρχειν, ὧν τὸ συμμετρώτατον τετράγωνον ἰσότητα ὀρθογωνίου καὶ πλευρῶν ἔχει· καὶ πρὸς αὐτὸ εὐθύνεται, ἀλλὰ παρὰ μίας πάντως ἐπισημαίνοντος μονάδα τε καὶ γ καὶ ε καὶ ζ μετέχουσιν ἀπ' ἀλλήλων οὖσαι τρίται, καθὰ καὶ τετραγωνισμοῦ ἐν πάσαις ταῖς ἀναλόγον ἐκθέσεσιν ἰσοταγεῖς χώρας· τεταρταίου δὲ καὶ τοῦ κύβῳ παραπεμφθέντος διὰ τὴν πανταχόθεν ἑδραιότητα κἀκ τῶν ἐξ βάσεων τετραγώνων εὐσταθὲς ἓν καὶ ὃ καὶ ζ κοινωνοῦσι· παρὰ γὰρ δύο ἐπισημαίνει ὁ λόγος, ὥστε διὰ τετάρτης ἁπάντων ἡμέρας, ὧν ἐν ταῖς αὐτῶν ἀνάλογον ἐκθέσεσιν εἰς τὰς τετάρτας πάντως οἱ κύβοι ἀποτελοῦνται χώρας· τοῦ δὲ λεγο-

μένου ἡμιτριταίου φύσιν μὲν ἰδίαν οὐκ ἔχοντος, παρὰ δὲ τὸν τριταῖον μορφουμένου, ἅπαντῶντος δὲ αὐτοῦ ἐν δυσὶ νυχθημέροις, τουτέστι, ὥραις μή, ἀεὶ μέντοι τρεῖς ὥρας ὁρίζοντος εἰς ὁποτερονοῦν, ἤτοι λῆψιν ἢ ἄνεσιν, τὸ δὲ λοιπὸν ἐν δωδεκάωρον εἰς τοὐναντίον, παρὰ μέντοι τὸ θᾶττον ἢ βράδιον αὐτὰ ταῦτα ἀποδιδόναι, ἤτοι μεγάλου ἡμιτριταίου λεγομένου ἢ μικροῦ ἢ μέσου πρὸς τὰς παρ' ἑπάτερον παρολκὰς ἢ παρεκτάσεις. Μεθέξει μὲν ἡ τῆς δευτέρας ἡμέρα δευτέρα δωδεκάωρος ἐπισημανθεῖσα,
53 τῆς δὲ τετάρτης ἡ προτέρα δωδεκάωρος, καὶ τῆς στ' ἡ ἀρχή, ὥστε πάλιν ἀπάντησιν εἰς τὴν τῆς ζ' ὑστέρας γενέσθαι, καὶ τρόπον τινὰ τὴν ζ' ἐοικυῖαν εἶναι τῇ πρωτίστῃ κατὰ πάντα· πάντων γὰρ ἁπλῶς τῶν ἐντὸς διαστήματος τεταρταίκοῦ τόπων ἀμφότεραι μόναι μετέχουσαι, ἡ μὲν γεννητική, ὡς εἰπεῖν, αὐτῶν ἔσται, ἡ δὲ κριτικὴ καὶ οἷον δοκιμαστική, τῶν δ' ἀναμέσων πασῶν οὐδεμία πάντων μετέχει πλὴν ἀφημερινοῦ, οὗπερ ἀναγκαίως καὶ ζ' καὶ α'· κοινὴ γὰρ αὕτη ἐπισημασία μόνη, ὥσπερ καὶ τῶν ἐκκειμένων διαγραμμάτων. Αὕτη ἡ πολλαπλασιότης κοινὸν πάντων στίχων παρακολούθημα, ἀλλὰ διαφεύγει δευτέρα μὲν τριταῖον καὶ τεταρταῖον, μετέχει δὲ ἀφημερινοῦ καὶ ἡμιτριταίου· τρίτη δὲ διαφεύγει μὲν ἡμιτριταῖον καὶ τεταρταῖον, μετέχει δὲ ἀφημερινοῦ καὶ τριταίου· τετάρτη δὲ διαφεύγει μὲν τριταῖον, τῶν δὲ λοιπῶν μετέχει τριῶν· πέμπτη δὲ διαφεύγει μὲν τεταρταῖον, μετέχει δὲ καὶ τριταίου καὶ ἀφημερινοῦ καὶ τῆς τοῦ λοιποῦ ἀνωμαλίας· ἕκτη δὲ μόνη ἀφημερινοῦ μετέχει, ἀντιπεπονθότως τῇ τετάρτῃ ἕνα μόνον διαφευγούσῃ· ζ' δὲ πάντων μετέχει, ὡς ἡ πρώτη. Καὶ ἐπειδὴ τὰ τῶν ἄλλων τύπων συμφανέστερα ἢ ἁπλοειδέστερα, τεταραγμένου δὲ τοῦ ἡμιτριταίου σαφέστερον οὕτω ὁρισθήσεται· πρώτης ἀρχῆς σημασίας ἐνδοτέρω οὐκ ἂν ἐπισημήνῃ ἑ ἑξαώρων, ὥστε κατὰ τὴν τῆς γ' ἑσπέρων τῆς πρότε-

ρον γενομένης κατὰ τὴν μεσημβρίαν τῆς δευτέρας ἢ ἐπὶ ταύτῃ ὅρον ἕξει, οὗ ἐνδοτέρω ἀμήχανον πάλιν τὸ τῆς τετάρτης μεσονύκτιον εἰς σὴν τῆς σ' εὐθὺς πρωΐαν, ὥστε τὴν τῆς ἑβδόμης μεσημβρίαν ἀποκρίνεσθαι. Ἀπὸ δὲ ταύτης τῆς διαιρέσεως, ἥτις ἐστὶ τοῦ σμικροτάτου, καὶ τὰς ἀνωμαλίας λογιστέον. Διὰ τὸ οὖν τυχαίως καὶ ἐπὶ καιρόν τινα τρόπον ἁπαντᾶν καὶ ἀποκρίνεσθαι ἕκαστα κατὰ τὴν τῆς ἑβδόμης χώραν καιρὸν αὐτὴν καὶ τύχην ἐπωνόμαζον, καὶ ἡ συνήθεια καιρὸς καὶ τύχη εἰθίσθη λέγειν. Τί γὰρ δεῖ νῦν καὶ περὶ τῶν κλιμακτήρων λεπτολογεῖν ἑβδοματικῶν μάλιστα παρὰ τοῖς ἀποτελεσματολόγοις δογματιζόμενον; Ὅτι Ἀθηνᾶν καὶ καιρὸν καὶ τύχην τὴν ἑπτάδα ἐπωνόμαζον· Ἀθηνᾶν μέν, ὅτι παραπλησίως τῇ μυθευομένῃ παρθένος τις καὶ ἄζυξ ὑπάρχει, οὔτε ἐκ μητρὸς γεννηθεῖσα, ὅ ἐστιν, ἀρτίου ἀριθμοῦ, οὔτε ἐκ πατρός, ὅ ἐστι, περισσοῦ· πλὴν ἀπὸ κορυφῆς τοῦ πάντων πατρός, ὅπερ ἂν εἴη ἀπὸ τῆς τοῦ ἀριθμοῦ κεφαλῆς, μονάδος· καὶ ἔστιν οἷον Ἀθηνᾶ ἀθήλυντός τις, θῆλυ δὲ ὁ εὐδιαίρετος ἀριθμός· καιρὸν δέ, ὅτι οὐ χρόνῳ μακρῷ τὰς ἐνεργείας ἀνυομένας ἐν ταῖς κρίσεσιν ἔχει, εἰς ὑγείαν ἢ νόσον, ἢ εἰς γένεσιν καὶ φθοράν· τύχην δέ, ὅτι παραπλησίως τῇ μυθευομένῃ Τύχῃ τὰ θνητὰ διέπει. Ὅτι οὐ μόνον τῆς ἀνθρωπίνης φωνῆς, ἀλλὰ καὶ ὀργανικῆς καὶ κοσμικῆς καὶ ἁπλῶς ἐναρμονίου φωνῆς ζ' ὑπάρχει τὰ στοιχειώδη φθέγματα, οὐ μόνον παρὰ τὸ ὑπὸ τῶν ἑπτὰ ἀστέρων ἀφίεσθαι μόνα καὶ πρώτιστα, ὡς ἐμάθομεν, ἀλλ' ὅτι καὶ τὸ πρῶτον διάγραμμα παρὰ τοῖς μουσικοῖς ἑπτάχορδον ὑπέπεσε. Ὅτι τριῶν ὄντων τῶν τῆς ψυχῆς εἰδῶν ἢ μερῶν, φρονητικοῦ, θυμικοῦ, ἐπιθυμητικοῦ, τέσσαρες ἀρεταὶ καὶ τελειόταται γίνονται, καθάπερ τριῶν διαστημάτων ὁ ὅροι ἐπὶ πομματικῆς διαιρέσεως. 54

ή. Περὶ ὀκτάδος.

Τὴν ὀκτάδα πρῶτον ἐνεργείᾳ κύβον καὶ μόνον ἐντὸς δεκάδος ἀρτιάκις ἄρτιον ἔφαμεν, ἐπειδὴ ὁ δ' συνέχειν φαίνεται τὰς περὶ ἀρτίου καὶ ἀρτιάκις ἀρτίου διαγνώσεις ἐν τῷ δύο μόνον διχασμοὺς ἐπιδέχεσθαι, εἰ μέχρι μονάδος τὴν μὲν αὐτοῦ, τὴν δὲ τῶν μερῶν παγκάλως τε καὶ παραλλήλως ἡρμοσμένας πάσας ἁρμόσεις, τὴν μὲν ἐκ δύο μήτε γεννώντων μήτε γεννωμένων, οἵπερ μόνοι ἐν δεκάδι ὤφθησαν· λέγω δὲ τὴν ἐκ τοῦ ά καὶ ζ· τὴν δὲ ἐκ δύο ἀρτιοπε-
55 ρίσσων ἐνεργείᾳ, εἴπερ στοιχειώδης εἰς γέννησιν κύβων σύνθεσις καὶ πρώτη συλλαβή, τὴν ἐκ τοῦ γ καὶ ε τὴν μὲν δυνάμει, τὴν δὲ ἐνεργείᾳ τὴν ἐκ τοῦ β καὶ στ, τὴν δὲ ἐκ δύο πρώτων περισσῶν, τὴν μὲν πρὸ αὐτοῦ, ἀσυνθέτως ἀποβάντος τοῦ ἑνός, τὴν δὲ μετ' αὐτὸν ἐκ τριῶν τῶν μετὰ τούτους ἑσομένων ζ' θ' ια, τὴν δὲ ἔτι μετ' ἐκεῖνον ἐκ δ' συνεχῶν ιγ' ιε' ιζ' ιθ', τετάρτην δὲ τὴν ἐκ διαφορουμένου τοῦ δ', μόνου καὶ γεννῶντος ἅμα καὶ γεννωμένου, ἵνα ἐκ τῶν ἀντιθέντων δύο πρωτίστων ἀγόνων καὶ γεννητῶν καὶ τοῦ ἀμφότερα ἔχοντος συντελῆται τὰ ή. Καὶ ἄλλως ὁ δ' μεθόριον ἁρμονικὸν σχέσεων ἡμῖν ἀνεφάνη, συμφώνων μὲν ἐντὸς ἑαυτοῦ, ἀσυμφώνων δέ, ἀλλ' ἐμμελῶν μεθ' ἑαυτόν. Ἔνθεν παναρμόνιος ἐπεκαλεῖτο ὑπὸ τῶν ἀνδρῶν ἡ ὀγδοὰς διὰ τὴν ὑπερφυῆ καθάρμοσιν ταύτην, ἢ ὅτε, ἰσάκις ἴση ἰσάκις, πρὸ πάντων αὐτὴ καθαρμοσθεῖσα πρῶτη δικαιοτάτην γένεσιν. Ὅτε οὖν Καδμείαν καλοῦσιν αὐτήν, ὑπακουστέον, ὅτι παρ' ὅσον Κάδμου γυναῖκα τὴν Ἁρμονίαν πάντες ἱστοροῦσιν. Ἐναργῶς δὲ ἂν τοῖς οὐρανίοις εὕροι τις ἂν ἴχνη ὀγδοάδος· ὀκτώ τε γὰρ σφαῖραι ἀστέρων, καὶ ἡ οἱ ἀστρονόμοις κατὰ λῆψιν ἐναγκαιότατοι καὶ ἐπιστημονικώτατοι κύκλοι· τέσσαρες μὲν μέγιστοι ἀλλήλων ἁπτόμενοι, πῇ μὲν δίχα, πῇ δὲ ἄλλως, ἰσημερινός καὶ ζωδιακὸς καὶ ὁρίζων καὶ ὁ διὰ τῶν πόλων, ὧν τινες μεσημβρινόν, οἱ

δὲ κόλουρόν φασι· τέσσαρες δὲ ἐλάττονες, οὐδαμῶς ἀλλήλων ἐφαπτόμενοι, ἀρκτικὸς καὶ ἀνταρκτικὸς καὶ θερινὸς καὶ χειμερινός· καὶ ἄλλα τοιαῦτα· ἐν δὲ τοῖς περιγείοις, εἴπερ τῶν πεποδισμένων ζώων ὁ ὅρος ἐν αὐτῇ, μετ' αὐτὴν δὲ ἡ ἀοριστία, σκορπίοι τε καὶ καρκῖνοι καὶ τὰ ὅμοια τῶν ἑπτοὺς πόδας ἐχόντων· τὰ δὲ ἐφεξῆς αὐτοῖς πολυπάδων ψυλλῶν ἔστιν ἤδη· καὶ τῶν τοῦ ἀνθρώπου ὀδόντων ἡ τέτρακα διανέμησις ὀγδοαδική πώς ἐστι· καὶ ἡ τῶν ἐκ κεφαλῆς τεσσάρων κατατρήσεων διαφόρησις κατ' αὐτὴν ὥρισται, καὶ ἕτερα ἐοικότα· περί τε θηλὰς ζώων 56
καὶ χηλὰς κατ' ἀνάλογον, ὅθεν αὐτὴν μητέρα ἐπωνόμαζον, τάχα μὲν εἰς τὰ λεχθέντα ἀναφέροντες· θῆλυς γὰρ ὁ ἄρτιος· τάχα δέ, ἐπειδὴ μήτηρ μὲν θεῶν ἡ Ῥέα, Ῥέας δὲ δυὰς μὲν ἀπεδείχθη σπερματικῶς, ὀγδοὰς δὲ κατὰ ἐπίτασιν. Δοκεῖ δέ τισι καὶ αὐτὸ τὸ ὄνομα τοῦτο πεποιῆσθαι τὸ ὀγδοὰς οἷον ἐκδυὰς ἢ ἐκ δυάδος γεγονυῖα κυβισθείσης. Φιλόλαος δὲ μετὰ τὸ μαθηματικὸν μέγεθος τριχῇ διαστὰν τετράδι, ποιότητα καὶ χρῶσιν ἐπιδεικνυμένης τῆς φύσεως ἐν πεντάδι, ψύχωσιν δὲ ἐν ἑξάδι, νοῦν δὲ καὶ ὑγείαν καὶ τὸ ὑπ' αὐτοῦ λειπόμενον φῶς ἐν ἑβδομάδι, μετὰ ταῦτά φησιν ἔρωτα καὶ φιλίαν καὶ μῆτιν καὶ ἐπίνοιαν ἐπ' ὀγδοάδι συμβῆναι τοῖς οὖσιν. Ὅτι ἀλητόμηνος· ἐπὶ μὲν τῆς Ῥέας μυθολογοῦσιν, ὅτι τοὺς τικτομένους ἀπ' αὐτῆς ἠφάνιζεν ὁ Κρόνος, ὡς ἱστόρεῖται, ἐπὶ δὲ τῆς ὀγδοάδος, ὅτι ἀτελεσιούργητοι αἱ κατὰ τὸν ὄγδοον μῆνα ὠδῖνες ἀλιτόμηνοί πως διὰ τοῦτο λεγόμεναι. Ὅτι τοῦ τῶν Μουσῶν ἀριθμοῦ τὸ Εὐτέρπη ὄνομα τῇ ὀγδοάδι πρέπειν ἔλεγον, παρ' ὅσον εὔτρεπτος μάλιστα τῶν ἐντὸς δεκάδος, ἀρτιάκις ἄρτιος οὖσα καὶ μέχρι τῆς φύσει ἀτόμου μονάδος αὐτῆς.

Ἀνατολίου.

Ἡ ὀγδοὰς ἀσφάλεια καλεῖται καὶ ἕδρασμα·

ἀγωγὸς οὖσα παρὰ τὸ δύο ἄγειν σπέρμα αὐτῇ· ὁ πρῶτος ἄρτιος· τετράδι πολλαπλασιασθεῖσα ποιεῖ τὸν λβ', ἐν ᾧ φασὶ χρόνῳ τὰ ἑπτάμηνα διατυποῦσθαι· ἡ περιέχουσα τὰ πάντα σφαῖρα ὀγδόη, ὅθεν ἡ παροιμία πάντα ὀκτώ φησι. Σὺν ὀκτὼ δὴ σφαίρῃσι κυλίνδεται ὁ κυκλόων ἐνάτην περιγαίην, Ἐρατοσθένης φησίν. Ἀρχὴ τῶν μουσικῶν λόγων ἐστὶν ὁ ἡ ἀριθμός, καὶ εἰσὶν οἱ ὅροι τοῦ κοσμικοῦ συστήματος οὗτος. Ὁ ἡ ἀριθμὸς ἐπόγδοον ἔχει τὸν θ' ἀριθμόν, ὑπερέχει δὲ ἑνὶ μονάδι ὁ ἔννατος τοῦ ἡ· ὁ ιβ' ἡμιόλιος τοῦ ἡ, ἐπίτριτος τοῦ θ', ὑπερέχει τριάδι τοῦ θ'· ὁ ιστ' ἐπίτριτος τοῦ ιβ' ὑπερέχει δ'· ὁ ιή ἡμιόλιος τοῦ ιβ' ὑπερέχει ἑξάδι· ὁ κά τοῦ θ' διπλασιεπίτριτος ὑπερέχει ιβ'· ὁ κθ' ἐπίτριτος τοῦ ιή ὑπερέχει στ'· ὁ λβ' ἐπίτριτος τοῦ κθ' ὑπερέχει ή· ὁ λστ' διπλάσιος τοῦ ιή, ἡμιόλιος τοῦ κθ', ὑπερέχει ιβ'. Καὶ ἔστιν ὁ μὲν θ' ἐπόγδοος τοῦ ἡ Σελήνης, ὁ ιβ' ἡμιόλιος τοῦ ἡ Ἑρμοῦ, ὁ ιστ' διπλάσιος τοῦ ἡ Ἀφροδίτης, ὁ ιή διπλάσιος τοῦ θ' καὶ ἐπόγδοος τοῦ ιστ' ἡλίου, ὁ κά διπλασιεπίτριτος τοῦ θ' Ἄρεος, ὁ κθ' διπλάσιος τοῦ ιβ' ἐν ἡμιολίῳ τοῦ ἡ Διός, ὁ λβ' τετραπλάσιος τοῦ ἡ Κρόνου, ὁ λστ' τετραπλάσιος τοῦ θ' ἀπλανῶν ἐν ἐπογδόῳ λόγῳ· αἱ δὲ ὑπεροχαί· λστ' ὑπερέχει δ', λβ' ή, κθ' γ', ιή β', ιστ' δ', ιβ' γ', θ' ά· ἡ ὑπερέχει δὲ τοῦ ἡ ὁ θ' μονάδι, ὁ ιβ' τοῦ θ' τριάδι, ὁ ιστ' τοῦ ιβ' τετράδι, ὁ ιή τοῦ ιστ' β', καὶ οἱ λοιποὶ ὁμοίως.

θ'. Περὶ ἐννεάδος.

Τὴν δὲ ἐννεάδα μέγιστον τῶν ἐντὸς δεκάδος ἀριθμῶν καὶ πέρας ἀνυπέρβλητον· ὁρίζει γοῦν τὴν εἰδοποίησιν οὕτως· οὐ γὰρ μόνον, ὅτι ἐπ' ἐνάτου τόνου μηκέτι εἶναι συμβέβηκεν λόγον περαιτέρω μουσικὸν ἐπιμόριον, ἀλλὰ καὶ διὰ τὸ φυσικῶς ἀναστρέφειν τὴν σύνθεσιν ἐπὶ φυσικοῦ τέλους εἰς τὴν ἀρ-

χὴν καὶ ἀπὸ συναμφοτέρων εἰς τὸ μέσον, καθὰ ποικιλώτερον ἀπεδείξαμεν ἐν τῷ κατὰ τὴν πεντάδα δικαιοσύνης ἐπιγράμματι. Κατὰ γοῦν τὸ ὄνομα τὴν συμπάθειαν καὶ ἀντιζυγίαν ἔοικεν αἰνίττεσθαι, εἴπερ ἐννεὰς μὲν κέκληται οἱονεὶ ἐνὰς ἡ πάντα ἐντὸς αὐτῆς κατὰ παρωνυμίαν τοῦ ἕν. Ὅτι δὲ οὐδὲν ὑπὲρ τὴν ἐννεάδα ὁ ἀριθμὸς ἐπιδέχεται, ἀλλὰ ἀνακυκλεῖ πάντα ἐντὸς ἑαυτῆς, δῆλον ἐκ τῶν λεγομένων παλινῳδιῶν· μέχρι μὲν γὰρ αὐτῆς φυσικὴ πρόβασις, μετὰ δ' αὐτὴν παλίμπετής· πᾶ γὰρ ἰ μονὰς γίνεται, 58 κατὰ ἑνὸς ἀφαίρεσιν στοιχειώδους ποσοῦ, τουτέστι, κατὰ ἐννεάδος μιᾶς, τὰ δὲ ιὰ καὶ κ πάλιν δυάς, ἤτοι μιᾶς ἢ δυοῖν ἀφαιρεθεισῶν, ιβ δὲ καὶ τριάκοντα τριάς, καὶ πάλιν τὸ ρ μόνον ἰ ἐννεάδων ἰ ἀφαιρεθεισῶν, καὶ τὸ αὐτὸ μέχρι καὶ ἀπείρου, ὥστε μηδεμιᾷ μηχανῇ δυνατὸν εἶναι ἀριθμὸν ἄλλον ὑπὲρ τὰ ἐννέα στοιχειώδη συστῆναι. Καὶ διὰ τοῦτο Ὠκεανόν τε προσηγόρευον αὐτὴν καὶ ὁρίζοντα, ὅτι ἀμφοτέρως ταύτας περιείληφεν οἰκήσεις καὶ ἐντὸς ἑαυτῆς ἔχει· κατ' ἄλλο δὲ σημαινόμενον Προμηθέα ἀπὸ τοῦ μηκέτι ἐᾶν τινὰ πρόσω αὐτῆς χωρεῖν ἀριθμόν, καὶ εὐλόγως γε· τρὶς γὰρ τέλειος ὑπάρχουσα οὐδ' ἐπίδοσιν αὐξήσεως ἀπέλιπεν, ἀλλὰ καὶ δύο κύβων ἅμα σύνθεσις τοῦ ἁ καὶ τοῦ ή, καὶ τετράγωνος οὖσα τὴν πλευρὰν τρίγωνον ἔχει μόνη τῶν μέχρις αὐτῆς. Διὰ γοῦν τὸ μὴ ἀφιέναι σκορπίζεσθαι ὑπὲρ αὐτὴν τὴν τοῦ ἀριθμοῦ σύμπνοιαν, συνάγειν δὲ εἰς τὸ αὐτὸ καὶ συναυλίζειν, ὁμόνοιά τε καλεῖται καὶ πέρασις, καὶ ἅλιος ἀπὸ τοῦ ἁλίζειν. Ἐπαλεῖτο δὲ καὶ ἀνεπία διὰ τὴν ἀνταπόδοσίν τε καὶ ἀμοιβὴν τῶν ἀπ' αὐτῆς μέχρι μονάδος, ὡς εἴρηται ἐν τῷ περὶ δικαιοσύνης διαγράμματι· ὁμοιώσεις δὲ τάχα μὲν παρὰ τὸ πρῶτος περισσὸς τετράγωνος ὑπάρχειν· ὁμοιωτικὸν γὰρ δ' ὅλου παρ' αὐτῆς λέγεται τὸ περισσὸν εἶδος, ἀνόμοιον δὲ τὸ ἄρτιον, καὶ πάλιν ὁμοιωτικὴν μὲν τὸ τετράγωνον,

ἀνόμοιον δὲ τὸ ἑτερόμηκες· τάχα δὲ πάσῃ μάλιστα τῇ πλευρᾷ ὁμοιοῦται· ὡς γὰρ ἐκείνη τρίτην χώραν ἐν τῇ φυσικῇ εἴληχεν, οὕτω καὶ ἡ ἐννεὰς τρίτη ἐν τῇ κατ' αὐτὴν ἀναλόγῳ προβάσει. Καὶ Ἥφαιστον δὲ αὐτὴν ἐπωνόμαζον, ὅτι μέχρι αὐτῆς ὥσπερ κατὰ χώνευσιν καὶ ἀναφορὰν ἡ ἄνοδος· καὶ Ἥραν παρὰ τὸ κατ' αὐτὴν τετάχθαι τὴν τοῦ ἀέρος σφαῖραν ἐπὶ ταῖς ἡ ἐννάτῃ οὐσαν· καὶ Διὸς ἀδελφὴν καὶ σύνευνον διὰ τὴν πρὸς μονάδα συζυγίαν· ἑκάεργον ἀπὸ τοῦ εἴργειν τὴν ἑκὰς πρόβασιν τοῦ ἀριθμοῦ· νυσσηίταν ἀπὸ τοῦ ἐπὶ νύσσαν καὶ ὡσανεὶ τέρμα τι τῆς προόδου τετάχθαι· Κουρήτιδα δὲ ἰδίως καὶ Ὀρφεὺς καὶ Πυθαγόρας αὐτὴν τὴν ἐννεάδα ἐκάλουν, ἅτε Κουρήτιδα ἱερὰν ὑπάρχουσαν τριῶν τριμερῆ, ἢ κόρην γε, ἅπερ ἀμφότερα τριάδι ἐφηρμόσθη· τρὶς τοῦτο ἐχούσῃ· καὶ Τπερίονα διὰ τὸ ὑπὲρ πάντας τοὺς ἄλλους εἰς μέγεθος ἐληλυθέναι· καὶ Τερψιχόρην ἀπὸ τοῦ τρέπειν καὶ ὡς χορὸν ἀνακυκλοῦν τὴν τῶν λόγων παλιμπέτειαν καὶ σύνευσιν ὡς εἰς μέσον καὶ τὴν ἀρχὴν ἀπὸ τέλους τινός· ἐννεὰς ἀπὸ περισσοῦ πρῶτος τετράγωνος. Καλεῖται δὲ αὐτὴ τελεσφόρος, τελειοῖ δὲ τὰ ἐννεάμηνα· ἔτι τέλειος, ὅτι ἀπὸ τελείου τοῦ γ' γίνεται. Αἱ σφαῖραι περὶ ἐννάτην γῆν στρέφονται. Λέγεται δὲ καὶ τοὺς τῶν συμφωνιῶν λόγους ἔχειν θ', δ', γ', β'· ἐπίτριτον τὸν δ' πρὸς γ', ἡμιόλιον τὸν γ' πρὸς β', διπλάσιον τὸν δ' πρὸς β'· πρῶτός ἐστιν ἐπόγδοος.

59

ι'. Περὶ δεκάδος.

Πολλάκις ἔφθημεν εἰπόντες, τὸν τεχνικὸν νοῦν πρὸς τὰς ἀριθμοῦ ἐμφερείας καὶ ἀφομοιώσεις ὡς πρὸς παράδειγμά τι παντελὲς ἀπεργάσασθαι τὴν τοῦ κόσμου καὶ τῶν ἐν κόσμῳ πάντων κατασκευήν τε καὶ σύστασιν· ἐπεὶ δὲ ἀόριστον τὸ ὅλον πλῆθος ἦν καὶ ἀδιεξίτητος ἡ τοῦ ἀριθμοῦ πᾶσα ὑπόστασις, οὐκ ἦν εὔλογον οὐδ' ἄλλως ἐπιστημονικόν, ἀπεριλήπτῳ χρῆ-

σθαι παραδείγματι, ἔδει δὲ συμμετρίας, ἵνα τῶν προκειμένων αὐτῷ ὅρων καὶ μέτρων ὁ τεχνίτης θεὸς ἐν τῇ δημιουργίᾳ περιγένηται καὶ περικρατήσῃ, καὶ μήτε ἐπ' ἔλαττον μήτε ἐπὶ πλέον τοῦ προσήκοντος ἦτοι ἐνδεῶς συστείλῃ ἢ πλημμελῶς ὑπερεκπέσῃ· φυσικὴ δέ τις συσταθμία καὶ μετριότης καὶ ὅλωσις ἐν τῇδε μάλιστα ὑπῆρχε· πάντα μὲν σπερματικῶς ἐντὸς αὐτῆς περιειληφυῖα, στερεὰ καὶ ἐπίπεδα, ἄρτιά τε καὶ περισσὰ καὶ ἀρτιοπέρισσα, καὶ τέλεια πᾶσι τρόποις, πρῶτά τε καὶ ἀσύνθετα, ἰσότητά τε καὶ ἀνισότητα, τὰς δὲ δέκα σχέσεις, διαμετρικά τε καὶ σφαιρικὰ καὶ κυκλικά, μηδεμίαν δὲ ἰδιάζουσαν ἢ φυσικὴν ἄλλως παραλλαγὴν καθ' ἑαυτὴν ἔχουσα, ὅτε μὴ κατ' ἐπιδρομὴν καὶ ἀναπύκλησιν τὴν εἰς ἑαυτήν. Εἰκότως μέτρῳ τῶν ὅλων αὐτῇ καὶ ὥςπερ γνώμονι καὶ εὐθυντηρίῳ ἐχρήσατο πρὸς τὴν πρόθεσιν ἁρμοζόμενος· διόπερ τοὺς κατ' αὐτὴν λόγους συμφώνους ἔχοντα τὰ ἀπ' οὐρανοῦ μέχρι γῆς ὁλοσχερέστερόν τε καὶ κατὰ μέρος εὑρίσκεται καὶ διακεκοσμημένα κατ' αὐτήν. Διόπερ καὶ ἐπωνόμαζον αὐτὴν θεολογοῦντες οἱ Πυθαγορικοὶ ποτὲ μὲν κόσμον, ποτὲ δὲ οὐρανόν, ποτὲ δὲ πᾶν, ποτὲ δὲ εἱμαρμένην καὶ αἰῶνα, κράτος τε καὶ πίστιν καὶ Ἀνάγκην, Ἄτλαντά τε καὶ ἀκάμαντα, καὶ θεὸν φιλῶς, καὶ Φάνητα καὶ ἥλιον· ἀπὸ μὲν τοῦ καὶ αὐτὴν διατετάχθαι τὰ ὅλα καθόλου τε καὶ κατὰ μέρος κόσμον, ἀπὸ δὲ τοῦ ὅρον τὸν τελειότατον ἀριθμοῦ εἶναι (παρ' ὃ δεκὰς οἱονεὶ δεχὰς, καθάπερ ὁ οὐρανὸς τῶν πάντων δοχεῖον) οὐρανὸν καὶ Μουσῶν γε Οὐρανίαν· πᾶν δέ, ὅτι ἀριθμὸς φυσικῶς πλείων οὐδείς ἐστιν, ἀλλ' εἴ γέ τις ἐπινοεῖται, κατὰ παλινῳδίαν ἐπ' αὐτόν πως ἀνακυκλεῖται· ἑκατοντὰς γὰρ δέκα δεκάδες, καὶ χιλιὰς δέκα ἑκατοντάδες, καὶ μυριὰς δέκα χιλιάδες, καὶ ἄλλων ἕκαστος οὕτως ἢ εἰς αὐτὴν ἢ εἴς τινα τῶν ἐντὸς αὐτῆς ἀναποδισθήσεται παλινοδούμενος.... Πάντων οὖν εἰς

αὐτὴν ἡ ἀνάλυσις καὶ ἡ ἀναστροφὴ παντοία· ἢ πῶν
ἡ δεκὰς καλεῖται ἀπὸ τοῦ μυθευομένου· δεκὰς γὰρ
καὶ οὕτως τιμᾶται, καὶ ταῖς τῶν μηνῶν δεκαταίαις
παρὰ τῶν ἀγροίκων τιμᾶται, καὶ [ὑπὸ δέκα] καὶ
ἐπίπαν ὑπὸ ποιμένων, αἰπόλων, βουπόλων, ἱππο-
φορβῶν, πολεμικῶν, κυνηγῶν, ἁλιέων, κηπουρῶν,
ὑλοτόμων τῶν θεμελίους τινὰς καταβαλλομένων.
Καὶ τῷ ἀνθρωπίνῳ δὲ γένει δέκα ζώων ἰδέας συν-
ωκηκέναι λέγεται, νύμφα, ὄρνιν, βοῦν, ἵππον, ὄνον,
61 ὀρέα, χῆνα, αἶγα, πρόβατον, γαλῆν. Εἱμαρμέ-
νην δὲ πάλιν ἔλεγον, παρ' ὅσον οὐδεμία ἰδιότης οὔτε
ἐν ἀριθμοῖς οὔτε ἐν τοῖς οὖσι κατ' ἀριθμοῦ σύστα-
σίν ἐστιν, ἢ οὐκ ἐν δεκάδι καὶ τοῖς ἐντὸς αὐτῆς
σπερματικῶς καταβέβληται, κατὰ εἱρμὸν δὲ λοιπὸν
καὶ ἀκολουθίαν διατείνει καὶ ἐπὶ τὰ μετ' αὐτήν, εἱ-
μαρμένη δὲ ὡς εἱρομένη τις καὶ εὐτακτουμένη ἀπό-
βασις. Λίωνα δέ, ὅτι περιεπτικῶς τῶν ὅλων οὗτος
τελειότατος ὢν καὶ ἄϊδιος, τελεστικὸς τῶν ἁπάντων,
ὡς ἡ δεκάς, ἐλέχθη· κράτος δέ, ὅτε κρατύνεσθαί τε
τὰ κοσμικὰ δι' αὐτοῦ συμβέβηκε καὶ τῶν ἄλλων κρα-
τεῖν ἀριθμῶν ὁ δέκα φαίνεται, πάντων τε λόγων
ἔρως τις καὶ περίπλεισις καὶ δοχεῖον· διόπερ καὶ
κλειδοῦχος ἐκαλεῖτο, πρὸς τῷ καὶ τοῦ μέχρι τε-
τράδος εἶναι συστήματος. Πίστις γε μὴν καλεῖται,
ὅτι κατὰ τὸν Φιλόλαον δεκάδι καὶ τοῖς αὐτῆς μο-
ρίοις περὶ τῶν ὄντων οὐ παρέργως καταλαμβανομέ-
νοις πίστιν βεβαίαν ἔχομεν· διόπερ καὶ μνήμη λέ-
γοιτ' ἂν ἐκ τῶν αὐτῶν, ἀφ' ὧν καὶ μονὰς Μνημο-
σύνη ὠνομάσθη. Εἰ δὲ καὶ τὴν Ἀνάγκην οἱ θεολό-
γοι τῇ τοῦ παντὸς οὐρανοῦ ἐξωτάτῃ ἅντυγι ἐπεγ-
χοῦσι, διηνεκῶς ἐλαύνουσαν καὶ κατεπείγουσαν ἀδα-
μαντίνῳ καὶ ἀτρύτῳ μίστυϊ τὴν σύμπασαν περιδί-
νησιν, εἴη ἂν καὶ οὕτως ἡ δεκὰς Ἀνάγκη, πάντα
περιορίζουσα καὶ ἀλλήλοις καταμιγνύουσα, καὶ πά-
λιν διϊστώσα καὶ πίνησιν καὶ ἀλληλουχίαν ἐμποι-
οῦσα τοῖς οὖσιν. Δι' κατ' αὐτὴν σφαῖραι τοῦ παντὸς

αἱ δέκα. Ἄτλας δέ, παρ' ὅσον ὁ μὲν Τιτὰν μυθεύεται φέρειν ἐπὶ τοῖς ὤμοις τὸν οὐρανόν· φησὶ γάρ·

ἔχει δέ τε κίονας αὐτὸς
Μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν.

Ἡ δὲ δεκὰς τὸν τῶν σφαιρῶν συγκρατεῖ λόγον, οἷον πασῶν τις διάμετρος οὖσα, καὶ περιάγουσα ταύτας καὶ περιπλείουσα συνεκτικώτατα. Ὅτι καὶ Σπεύσιππος, ὁ Ποτώνης μὲν υἱὸς τῆς τοῦ Πλάτωνος ἀδελφῆς, διάδοχος δὲ ἀκαδημίας, παρὰ Ξενοκράτους ἐξαιρέτως σπουδασθεισῶν ἀεὶ Πυθαγορικῶν ἀκροάσεων, μάλιστα δὲ τῶν Φιλολάου συγγραμμάτων, βιβλίδιόν τι συντάξας γλαφυρὸν ἐπέγραψε μὲν αὐτὸ περὶ Πυθαγορικῶν ἀριθμῶν, ἀπ' ἀρχῆς δὲ μέχρι ἡμίσους περὶ τῶν ἐν αὐτοῖς γραμμικῶν ἐμμελέστατα διεξελθών, πολυγωνίων τε καὶ παντοίων τῶν ἐν ἀριθμοῖς ἐπιπέδων ἅμα καὶ στερεῶν, περί τε τῶν πέντε σχημάτων, ἃ τοῖς κοσμικοῖς ἀποδίδοται στοιχείοις, ἰδιότητος αὐτῶν πρὸς ἄλληλα καὶ κοινότητος, ἀναλογίας τε καὶ ἀνακολουθίας, μετὰ ταῦτα λοιπὸν θάτερον τὸ τοῦ βιβλίου ἥμισυ περὶ δεκάδος ἄντικρυς ποιεῖται, φυσικωτάτην αὐτὴν ἀποφαίνων καὶ τελεστικωτάτην τῶν ὄντων, οἷον εἶδός τι τῶν κοσμικῶν ἀποτελεσμάτων τεχνικὸν ἀφ' ἑαυτῆς, ἀλλ' οὐχ ἡμῶν νομισάντων ἢ ὡς ἔτυχεν ἢ ἤθελεν, ὑπάρχουσα καὶ παράδειγμα παντελέστατον τῷ τοῦ παντὸς ποιητῇ θεῷ προεκπεμπόμενη. Λέγει δὲ τὸν τρόπον τοῦτον περὶ αὐτῆς. Ἔστι δὲ τὰ δέκα τέλειος, καὶ ὀρθῶς τε καὶ κατὰ φύσιν εἰς τοῦτον καταντῶμεν παντοίως ἀριθμοῦντες Ἕλληνές τε καὶ πάντες ἄνθρωποι, οὐδὲν αὐτοὶ ἐπιτηδεύοντες· πολλὰ γὰρ ἴδια ἔχει, ἃ προσήκει τὸν οὕτω τέλειον ἔχειν [πολλὰ δὲ ἴδια μὲν οὐκ ἔστιν αὐτοῦ· δεῖ δὲ ἔχειν αὐτὰ τέλειον]· πρῶτον μὲν οὖν ἄρτιον δεῖ εἶναι, ὅπως ἴσοι ἐνῶσιν οἱ περισσοί τε καὶ ἄρτιοι, καὶ μὴ ἑτερομερεῖς· ἐπεὶ

62

γὰρ πρότερος ἀεί ἐστιν ὁ περισσὸς τοῦ ἀρτίου, εἰ μὴ ἄρτιος εἴη ὁ συμπεραίνων, πλεονεκτήσει ὁ ἕτερος· εἰ δὲ ἴσους ἔχει, χρὴ τοὺς πρώτους καὶ ἀσυνθέτους καὶ τοὺς δευτέρους καὶ συνθέτους· ὁ δὲ δέκα ἔχει ἴσους, καὶ οὐδεὶς ἂν ἄλλος ἐλάσσων τῶν δέκα τοῦτο ἔπαθεν ἀριθμός, πλείων δὲ τάχα· καὶ γὰρ ὁ εβ′ καὶ ἄλλοι τινές· ἀλλὰ πυθμὴν αὐτῶν ὁ δέκα, καὶ πρῶτος τοῦτο ἔχων, καὶ ἐλάχιστος τῶν ἐχόντων τέλος τι ἔχει, καὶ ἴδιόν πως αὐτὸ τοῦτο γέγονε τὸ ἐν πρώτῳ αὐτῷ ἴσους ἀσυνθέτους τε καὶ συνθέτους ὦφθαι· ἔχων τε τοῦτο ἔχει πάλιν καὶ τοὺς πολλαπλασίους καὶ τοὺς ὑποπολλαπλασίους, ὧν εἰσὶ πολλαπλάσιοι· ἔχει μὲν γὰρ ὑποπολλαπλασίους τοὺς μέ-
63 χρι πέντε, τοὺς δὲ ἀπὸ τῶν ἓξ μέχρι τῶν δέκα πολλαπλασίους αὐτῶν· ἐπεὶ δὲ τὰ ζ′ οὐδενός, ἐξαιρετέον· καὶ τὰ δ′, ὡς πολλαπλάσια τοῦ β′, ὥστε ἴσους εἶναι πάλιν δεῖ. Ἔτι πάντες οἱ λόγοι ἐν τῷ ι′, ὅ τε τοῦ ἴσου καὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος καὶ τοῦ ἐπιμορίου καὶ τῶν λοιπῶν εἰδῶν ἐν αὐτῷ, καὶ οἱ γραμμικοὶ οἱ ἐπίπεδοι καὶ οἱ στερεοί· τὸ μὲν γὰρ ἀ στιγμή, τὰ δὲ β′ γραμμή, τὰ δὲ τρία τρίγωνον, τὰ δὲ δ′ πυραμίς· ταῦτα δὲ πάντα ἐστὶ πρῶτα καὶ ἀρχαὶ τῶν καθ′ ἕκαστον ὁμογενῶν. Καὶ ἀναλογιῶν δὲ πρώτη αὐτή ἐστιν ἡ ἐν αὐτοῖς ὀφθεῖσα ἡ τῷ ἴσῳ μὲν ὑπερέχουσα, τέλος δὲ ἔχουσα ἐν τοῖς δέκα. Ἔν τε ἐπιπέδοις καὶ στερεοῖς πρῶτά ἐστι ταῦτα, στιγμή, γραμμή, τρίγωνον, πυραμίς· ἔχει ταῦτα τὸν τῶν δέκα ἀριθμὸν καὶ τέλος ἴσχει· τετρὰς μὲν γὰρ ἐν πυραμίδος γωνίαις ἢ βάσεσι, ἓξὰς δὲ ἐν πλευραῖς, ὥστε δέκα, τετρὰς δὲ πάλιν ἐν στιγμῆς καὶ γραμμῆς διαστήμασι καὶ πέρασι, ἓξὰς δὲ ἐν τριγώνου πλευραῖς καὶ γωνίαις, ὥστε πάλιν δέκα. Καὶ μὴν καὶ ἐν τοῖς σχήμασι κατ' ἀριθμὸν σκεπτομένῳ συμβαίνει· πρῶτον γάρ ἐστι τρίγωνον τὸ ἰσόπλευρον, ὃ ἔχει μίαν πως γραμμὴν καὶ γωνίαν· λέγω δὲ μίαν, διότι ἴσας ἔχει· ἄσχιστον γὰρ ἀεὶ καὶ ἐνοειδὲς τὸ

ἴσον· δεύτερον δὲ τὸ ἡμιτετράγωνον· μίαν γὰρ ἔχον παραλλαγὴν γραμμῶν καὶ γωνιῶν ἐν δυάδι ὁρᾶται· τρίτον δὲ τὸ τοῦ ἰσοπλεύρου ἥμισυ τὸ καὶ ἡμιτρίγωνον· πάντως γὰρ ἄνισον καθ' ἕκαστον, τὸ δὲ πᾶν αὐτοῦ τρία ἐστί. Καὶ ἐπὶ τῶν στερεῶν εὑρίσκοις ἂν ἄχρι τῶν τεττάρων προϊὼν τὸ τοιοῦτο, ὥστε δεκάδος καὶ οὕτως φαύει· τριὰς γάρ πως ἡ μὲν πρώτη πυραμὶς μίαν πως γραμμήν τε καὶ ἐπιφάνειαν ἐν ἰσότητι ἔχουσα, παρὰ τῆς ἐπὶ τῆς βάσεως γωνίας ὑπὸ τριῶν ἐπιπέδων περιεχομένη, τὴν κατὰ κορυφὴν ὑπὸ τεττάρων συγκλειομένη, ὥστε ἐκ τούτου δυάδι ἐοικέναι· ἡ δὲ τρίτη τριάδι, ἐπὶ ἡμιτετραγώνου βεβηκυῖα, καὶ σὺν τῇ ὀφθείσῃ μιᾷ ὡς ἐν ἐπιπέδῳ τῇ ἡμιτετραγώνῳ ἔτι καὶ ἄλλην ἔχουσα διαφορὰν τὴν τῆς κορυφαίας γωνίαν, ὥστε τριάδι ἂν 64
ὁμοιοῖτο πρὸς ὀρθὰς τὴν γωνίαν ἔχουσα τῇ τῆς βάσεως μέσῃ πλευρᾷ· τετράδι δὲ ἡ τετάρτη κατὰ ταῦτα, ἐπὶ ἡμιτετραγώνῳ βάσει συνισταμένη, ὥστε τέλος ἐν τοῖς δέκα λαμβάνειν τὰ λεχθέντα. Τὰ αὐτὰ δὲ καὶ ἐν τῇ γενέσει· πρώτη μὲν γὰρ ἀρχὴ εἰς μέγεθος στιγμή, δευτέρα γραμμή, τρίτη ἐπιφάνεια, τέταρτον στερεόν.

Ἀνατολίου.

Ἡ δεκὰς γεννᾶται δυνάμει ἐξ ἀρτίου καὶ περισσοῦ· πεντάκις γὰρ δύο δέκα. Κύκλος ἐστὶ παντὸς ἀριθμοῦ καὶ πέρας· περὶ αὐτὸν γὰρ εἰλούμενοι καὶ ἀνακάμπτοντες ὥσπερ καμπτῆρα δολιχεύουσιν. Ὅτι ὅρος ἐστὶ τῆς ἀπειρίας τῶν ἀριθμῶν. Καλεῖται δὲ κράτος καὶ παντέλεια, ἐπεὶ πάντα περαίνει τὸν ἀριθμόν, περιέχουσα πᾶσαν φύσιν ἐντὸς ἑαυτῆς ἀρτίου τε καὶ περισσοῦ, κινουμένου τε καὶ ἀκινήτου, ἀγαθοῦ τε καὶ κακοῦ. Ἔτι γέγονεν ἐκ τῶν πρώτων ἀριθμῶν τῆς τετρακτύος συνθέτων ἀ, β, γ, δ, καὶ ὁ κ ἐκ δὶς ἑπάστου αὐτῶν. Ἔτι ἡ δεκὰς ἀριθμὸν γεννᾷ τὸν ε καὶ ν, θαυμαστὰ περι-

ἔχοντα κάλλη· πρῶτον μὲν γὰρ συνέστηκεν ἐκ τοῦ διπλασίου καὶ τοῦ τριπλασίου τῶν κατὰ τὸ ἑξῆς συντεθειμένων, διπλασίων μὲν ἀ β′ δ′ ή· ταῦτα δὲ ἐστιν ιέ· τριπλασίων δὲ ἀ γ′ θ′ κζ′, ἅπερ εἰσὶ μί· ταῦτα δὲ συντιθέμενα ποιεῖ τὸν νέ. Ὧν καὶ Πλάτων μέμνηται τῆς ψυχογονίας ἀρχόμενος οὕτως· μίαν ἀφεῖλεν ἀπὸ παντὸς μοῖραν, καὶ τὰ ἑξῆς. Δεύτερον ὁ μὲν νέ ἀριθμὸς δεκάδος ἐστὶ σύνθεσις, ὁ δὲ τπέ τῆς δυνάμει δεκάδος· ἐὰν γὰρ ἐκ τῶν ἀπὸ μονάδος μέχρι δεκάδος πολλαπλασιάσῃς, συνθήσεις τὸν προειρημένον ἀριθμὸν τὸν τπέ· τὰ δὲ τπέ τοῦ νέ τὸ ἑπταπλάσιον· ἔτι ἐὰν ψηφίσῃς τὸ ἓν ἐν γράμμασιν, εὑρήσεις κατὰ σύνθεσιν τὸν νέ. Ἔτι δὲ ἡ γονιμωτάτη ἑξὰς ἐφ' ἑαυτῇ πολλαπλασιασθεῖσα δυνάμει ἐπιγεννᾷ τὸν λστ· ἔστι δὲ ἑπτὰ τούτου μέρη γενόμενα οὕτως, δὶς εἱ, τρὶς ιβ′, τετράκις θ′, ἑξάκις στ′, ἐννεάκις δ′, δωδεκάκις γ′, ὀκτωκαιδεκάκις β′· γίνονται μέρη μὲν ἑπτά, ἀριθμὸς δὲ ὁ νέ. Ἔτι τρίγωνα πέντε κατὰ τὸ ἑξῆς γεννῶσι τὸν νέ· γ′, στ′, ι, ιέ, κά γίνονται νέ· πάλιν τετράγωνοι πέντε κατὰ τὸ ἑξῆς ά δ′ θ′ ιστ′ κέ γίνονται νέ· ἐκ δὲ τριγώνου καὶ τετραγώνου ἡ τοῦ ὅλου γένεσις κατὰ πλείονα. Ἐκ μὲν ἰσοπλεύρων τριγώνων τρία σχήματα συνίστανται, πυραμίς, ὀκτάεδρον, εἰκοσάεδρον· ἡ μὲν πυρὸς σχῆμα, τὸ δὲ ἀέρος, τὸ δὲ ὕδατος· ἐκ δὲ τετραγώνων ὁ κύβος· τοῦτο δὲ σχῆμα γῆς ἐστίν.

ΝΙΚΟΜΑΧΟΥ

ΕΙΣΑΓΩΓΗ ΑΡΙΘΜΗΤΙΚΗ.

TOMAHOWK

Νικομάχου Γερασηνοῦ
Ἀριθμητικῆς εἰσαγωγῆς
τῶν εἰς δύο τὸ πρῶτον.

α. Οἱ παλαιοὶ καὶ πρῶτοι μεθοδεύσαντες ἐπιστήμην, κατάρξαντος Πυθαγόρου, ὡρίζοντο φιλοσοφίαν εἶναι φιλίαν σοφίας, ὡς καὶ αὐτὸ τὸ ὄνομα ἐμφαίνει, τῶν πρὸ Πυθαγόρου πάντων σοφῶν καλουμένων συγκεχυμένῳ ὀνόματι, ὥσπερ καὶ τέκτων καὶ σκυτοτόμος καὶ κυβερνήτης καὶ ἁπλῶς πᾶς ὁ τέχνης τινὸς ἢ δημιουργίας ἔμπειρος· ἀλλ' ὅ γε Πυθαγόρας συστείλας τὸ ὄνομα ἐπὶ τὴν τοῦ ὄντος ἐπιστήμην καὶ κατάληψιν, καὶ μόνην τὴν ἐν τούτῳ γνῶσιν τῆς ἀληθείας σοφίαν ἰδίως καλέσας, εἰκότως τὴν ταύτης ὄρεξιν καὶ μεταδίωξιν φιλοσοφίαν προσηγόρευσεν, οἷον σοφίας ὄρεξιν. Ἀξιοχρεώτερος δέ ἐστι τῶν ἄλλως ὁριζομένων, παρ' ὅσον ἰδίου ὀνόματος καὶ πράγματος ἔννοιαν δηλοῖ· καὶ ταύτην δὲ τὴν σοφίαν ὡρίζετο ἐπιστήμην τῆς ἐν τοῖς οὖσιν ἀληθείας, ἐπιστήμην μὲν οἰόμενος εἶναι κατάληψιν τοῦ ὑποκειμένου ἀπταιστον καὶ ἀμετακίνητον, ὄντα δὲ τὰ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἀεὶ διατελοῦντα ἐν τῷ κόσμῳ καὶ οὐδέποτε τοῦ εἶναι ἐξιστάμενα οὐδὲ ἐπὶ βραχύ· ταῦτα δ' ἂν εἴη τὰ ἄϋλα καὶ ἀΐδια, ὧν κατ' οὐσίαν ἕκαστον λοιπὸν τῶν ὁμωνύμως ὄντων καὶ καλουμένων τόδε τι λέγεται καὶ ἔστι. Τὰ μὲν γὰρ σωματικὰ δήπου καὶ ὑλικὰ ἐν διηνεκεῖ ῥύσει καὶ μεταβολῇ διὰ παντὸς ἐστι, μιμούμενα τὴν τῆς ἐξ ἀρ-

αὐτὴν ἡ ἀνάλυσις καὶ ἡ ἀναστροφὴ παντοία· ἢ πῶν
ἡ δεκὰς καλεῖται ἀπὸ τοῦ μυθευομένου· δεκὰς γὰρ
καὶ οὗτος τιμᾶται, καὶ ταῖς τῶν μηνῶν δεκαταίαις
παρὰ τῶν ἀγροίκων τιμᾶται, καὶ [ὑπὸ δέκα] καὶ
ἐπίκαν ὑπὸ ποιμένων, αἰπόλων, βουπόλων, ἱππο-
φορβῶν, πολεμικῶν, κυνηγῶν, ἁλιέων, κηπουρῶν,
ὑλοτόμων τῶν θεμελίους τινὰς καταβαλλομένων.
Καὶ τῷ ἀνθρωπίνῳ δὲ γένει δέκα ζώων ἰδέας συν-
ωκηκέναι λέγεται, κύνα, ὄρνιν, βοῦν, ἵππον, ὄνον,
61 ὀρέα, χῆνα, αἶγα, πρόβατον, γαλῆν. Εἱμαρμέ-
νην δὲ πάλιν ἔλεγον, παρ' ὅσον οὐδεμία ἰδιότης οὔτε
ἐν ἀριθμοῖς οὔτε ἐν τοῖς σῶσι κατ' ἀριθμοῦ σύστα-
σίν ἐστιν, ἢ οὐκ ἐν δεκάδι καὶ τοῖς ἐντὸς αὐτῆς
σπερματικῶς καταβέβληται, κατὰ εἱρμὸν δὲ λοιπὸν
καὶ ἀκολουθίαν διατείνει καὶ ἐπὶ τὰ μετ' αὐτήν, εἱ-
μαρμένη δὲ ὡς εἰρομένη τις καὶ εὐτακτουμένη ἀπό-
βασις. Λίωνα δέ, ὅτι περιεκτικῶς τῶν ὅλων οὗτος
τελειότατος ὢν καὶ ὠφέλιος, τελεστικὸς τῶν ἁπάντων,
ὡς ἡ δεκάς, ἐλέχθη· κράτος δὲ, ὅτε κρατύνεσθαί τι
τὰ κοσμικὰ δι' αὐτοῦ συμβέβηκε καὶ τῶν ἄλλων κρα-
τεῖν ἀριθμῶν ὁ δέκα φαίνεται, πάντων τε λόγων
ὅρος τι καὶ περίπλεισις καὶ δοχεῖον· διόπερ καὶ
πλειδοῦχος ἐκαλεῖτο, πρὸς τῷ καὶ τοῦ μέχρι τε-
τράδος εἶναι συστήματος. Πίστις γε μὴν καλεῖται
ὅτι κατὰ τὸν Φιλόλαον δεκάδι καὶ τοῖς αὐτῆς μο-
ρίοις περὶ τῶν ὄντων οὐ παρέργως καταλαμβανομέ-
νοις πίστιν βεβαίαν ἔχομεν· διόπερ καὶ μνήμη λέ-
γοιτ' ἂν ἐκ τῶν αὐτῶν, ἀφ' ὧν καὶ μονὰς Μνημο-
σύνη ὠνομάσθη. Εἰ δὲ καὶ τὴν Ἀνάγκην οἱ θεολό-
γοι τῇ τοῦ παντὸς οὐρανοῦ ἐξωτάτῃ ἅπτυγι ἐπε-
χοῦσαι, διηνεκῶς ἐλαύνουσαν καὶ κατεπείγουσαν ἀδά-
μαντίνῳ καὶ ἀτρύτῳ μίστυι τὴν σύμπασιν περιφο-
νησιν, εἴη ἂν καὶ οὕτως ἡ δεκὰς Ἀνάγκη, πάν-
τα περιορίζουσα καὶ ἀλλήλοις καταμιγνύουσα, καὶ πε-
λιν διϊστάνουσα καὶ πίπτουσιν καὶ ἀλληλουχίαν ἔμπε-
οῦσα τοῖς οὖσιν. Λέγεται αὐτὴν ὀφείλειν τοῦ πόσου

αἱ δέκα. Ἄτλας δέ, παρ' ὅσον ὁ μὲν Τιτὰν μυθεύεται φέρειν ἐπὶ τοῖς ὤμοις τὸν οὐρανόν· φησὶ γάρ·

ἔχει δέ τε κίονας αὐτὸς
Μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν.

Ἡ δὲ δεκὰς τὸν τῶν σφαιρῶν συγκρατεῖ λόγον, οἷον πασῶν τις διάμετρος οὖσα, καὶ περιάγουσα ταύτας καὶ περικλείουσα συνεκτικώτατα. Ὅτι καὶ Σπεύσιππος, ὁ Ποτώνης μὲν υἱὸς τῆς τοῦ Πλάτωνος ἀδελφῆς, διάδοχος δὲ ἀκαδημίας, παρὰ Ξενοκράτους ἐξαιρέτως σπουδασθεισῶν ἀεὶ Πυθαγορικῶν ἀκροάσεων, μάλιστα δὲ τῶν Φιλολάου συγγραμμά- 62
των, βιβλιδιόν τι συντάξας γλαφυρὸν ἐπέγραψε μὲν αὐτὸ περὶ Πυθαγορικῶν ἀριθμῶν, ἀπ' ἀρχῆς δὲ μέχρι ἡμίσους περὶ τῶν ἐν αὐτοῖς γραμμικῶν ἐμμελέστατα διεξελθών, πολυγωνίων τε καὶ παντοίων τῶν ἐν ἀριθμοῖς ἐπιπέδων ἅμα καὶ στερεῶν, περί τε τῶν πέντε σχημάτων, ἃ τοῖς κοσμικοῖς ἀποδίδοται στοιχείοις, ἰδιάτητος αὐτῶν πρὸς ἄλληλα καὶ κοινότητος, ἀναλογίας τε καὶ ἀνακολουθίας, μετὰ ταῦτα λοιπὸν θάτερον τὸ τοῦ βιβλίου ἥμισυ περὶ δεκάδος ἀντικρυς ποιεῖται, φυσικωτάτην αὐτὴν ἀποφαίνων καὶ τελεστικωτάτην τῶν ὄντων, οἷον εἰδός τι τῶν κοσμικῶν ἀποτελεσμάτων τεχνικὸν ἀφ' ἑαυτῆς, ἀλλ' οὐχ ἡμῶν νομισάντων ἢ ὡς ἔτυχεν ἢ ἤθελεν, ὑπάρχουσα καὶ παράδειγμα παντελέστατον τῷ τοῦ παντὸς πο
τῇ θεῷ προεκπεμένη. Λέγει δὲ τὸν τρόπον το
περὶ αὐτῆς. Ἔστι δὲ τὰ δέκα τέλειος, καὶ ὀ
τε καὶ κατὰ φύσιν εἰς τοῦτον καταντῶμ παντ
ἀριθμοῦντες Ἕλληνές τε καὶ πάντες ἄ ι,
δὲν αὐτοὶ ἐπιτηδεύοντες· πολλὰ γὰ ι,
προσήκει τὸν οὕτω τέλειον ἔχειν [πολλ μ
οὐκ ἔστιν αὐτοῦ· δεῖ δὲ ἔχειν αὐτὰ τέ ῶ
τον μὲν οὖν ἄρτιον δεῖ εἶναι, ὅπως ἴσ ι
περισσοί τε καὶ ἄρτιοι, καὶ μὴ ἑτερομ

ἀνόμοιον δὲ τὸ ἑτερόμηκες· φάχα δὲ καὶ πεπειδὴ μάλιστα τῇ πλευρᾷ ὁμοιοῦται· ὡς γὰρ ἐκείνη τρίτην χώραν ἐν τῇ φυσικῇ εἴληχεν, οὕτω καὶ ἡ ἐννεὰς τρίτη ἐν τῇ κατ' αὐτὴν ἀναλόγῳ προβάσει. Καὶ Ἥφαιστον δὲ αὐτὴν ἐπωνόμαζον, ὅτι μέχρι αὐτῆς ὥσπερ κατὰ χύνευσιν καὶ ἀναφορὰν ἡ ἄνοδος· καὶ Ἥραν παρὰ τὸ κατ' αὐτὴν τετάχθαι τὴν τοῦ ἀέρος σφαῖραν ἐπὶ ταῖς ἡ ἐννάτῃ οὔσαν· καὶ Διὸς ἀδελφὴν καὶ σύνευνον διὰ τὴν πρὸς μονάδα συζυγίαν· ἐκάεργον ἀπὸ τοῦ εἴργειν τὴν ἑκὰς πρόβασιν τοῦ ἀριθμοῦ· νυσσηίταν ἀπὸ τοῦ ἐπὶ νύσσαν καὶ ὡσανεὶ τέρμα τι τῆς προόδου τετάχθαι· Κουρήτιδα δὲ ἰδίως καὶ Ὀρφεὺς καὶ Πυθαγόρας αὐτὴν τὴν ἐννεάδα ἐκάλουν, ἅτε Κουρήτιδα ἱερὰν ὑπάρχουσαν τριῶν τριμερῆ, ἢ κόρην γε, ἅπερ ἀμφότερα τριάδι ἐφηρμόσθη, τρὶς τοῦτο ἐχούσῃ· καὶ Ὑπερίονα διὰ τὸ ὑπὲρ πάντας τοὺς ἄλλους εἰς μέγεθος ἐληλυθέναι· καὶ Τερψιχόρην ἀπὸ τοῦ τρέπειν καὶ ὡς χορὸν ἀνακυκλοῦν τὴν τῶν λόγων παλιμπέτειαν καὶ σύνευσιν ὡς εἰς μέσον καὶ τὴν ἀρχὴν ἀπὸ τέλους τινός· ἐννεὰς ἀπὸ περισσοῦ πρῶτος τετράγωνος. Καλεῖται δὲ αὐτὴ τελεσφόρος, τελειοῖ δὲ τὰ ἐννεάμηνα· ἔτι τέλειος, ὅτι ἀπὸ τελείου τοῦ γ' γίνεται. Αἱ σφαῖραι περὶ ἐννάτην γῆν στρέφονται. Λέγεται δὲ καὶ τοὺς τῶν συμφωνιῶν λόγους ἔχειν θ', δ', γ', β'· ἐπίτριτον τὸν δ' πρὸς γ', ἡμιόλιον τὸν γ' πρὸς β', διπλάσιον τὸν δ' πρὸς β'· πρῶτός ἐστιν ἐπόγδοος.

59

ι'. Περὶ δεκάδος.

Πολλάκις ἔφθημεν εἰπόντες, τὸν τεχνικὸν νοῦν πρὸς τὰς ἀριθμοῦ ἐμφερείας καὶ ἁρμοιώσεις ὡς πρὸς παράδειγμά τι πάντελὲς ἀπεργάσασθαι τὴν τοῦ κόσμου καὶ τῶν ἐν κόσμῳ πάντων κατασκευήν τε καὶ σύστασιν· ἐπεὶ δὲ ἀόριστον τὸ ὅλον πλῆθος ἦν καὶ ἀδιεξίτητος ἡ τοῦ ἀριθμοῦ πᾶσα ὑπόστασις, οὐκ ἦν εὔλογον οὐδ' ἄλλως ἐπιστημονικόν, ἀπεριλήπτῳ χρῆ-

σθαι παραδείγματι, ἔδει δὲ συμμετρίας, ἵνα τῶν προκειμένων αὐτῷ ὅρων καὶ μέτρων ὁ τεχνίτης θεὸς ἐν τῇ δημιουργίᾳ περιγένηται καὶ περικρατήσῃ, καὶ μήτε ἐπ' ἔλαττον μήτε ἐπὶ πλέον τοῦ προσήκοντος ἢτοι ἐνδεῶς συστείλῃ ἢ πλημμελῶς ὑπερεκπέσῃ· φυσικὴ δέ τις συσταθμία καὶ μετριότης καὶ ὅλωσις ἐν τῇδε μάλιστα ὑπῆρχε· πάντα μὲν σπερματικῶς ἐντὸς αὐτῆς περιειληφυῖα, στερεὰ καὶ ἐπίπεδα, ἄρτιά τε καὶ περισσὰ καὶ ἀρτιοπέρισσα, καὶ τέλεια πᾶσι τρόποις, πρῶτά τε καὶ ἀσύνθετα, ἰσότητά τε καὶ ἀνισότητα, τὰς δὲ δέκα σχέσεις, διαμετρικά τε καὶ σφαιρικὰ καὶ κυκλικά, μηδαμίων δὲ ἰδιάζουσαν ἢ φυσικὴν ἄλλως παραλλαγὴν καθ' ἑαυτὴν ἔχουσα, ὅτι μὴ κατ' ἐπιδρομὴν καὶ ἀναπλήσεων τὴν εἰς ἑαυτήν. Εἰκότως μέτρῳ τῶν ὅλων αὐτῇ καὶ ὥσπερ γνώμονι καὶ εὐθυντηρίῳ ἐχρήσατο πρὸς τὴν πρόθεσιν ἁρμοζόμενος· διόπερ τοὺς κατ' αὐτὴν λόγους συμφώνους ἔχοντα τὰ ἀπ' οὐρανοῦ μέχρι γῆς ὁλοσχερέστερόν τε καὶ κατὰ μέρος εὑρίσκεται καὶ διαπεπεισμένα κατ' αὐτήν. Διόπερ καὶ ἐπωνόμαζον αὐτὴν θεολογοῦντες οἱ Πυθαγορικοὶ ποτὲ μὲν κόσμον, ποτὲ δὲ οὐρανόν, ποτὲ δὲ πᾶν, ποτὲ δὲ εἱμαρμένην καὶ αἰῶνα, κράτος τε καὶ πίστιν καὶ Ἀνάγκην, Ἄτλαντά τε καὶ ἀκάμαντα, καὶ θεὸν φιλῶς, καὶ Φάνητα καὶ ἥλιον· ἀπὸ μὲν τοῦ κατ' αὐτὴν διατετάχθαι τὰ ὅλα καθόλου τε καὶ κατὰ μέρος κόσμον, ἀπὸ δὲ τοῦ ὅρον τὸν τελειότατον ἀριθμοῦ εἶναι (παρ' ὃ δεκὰς οἱονεὶ ὅριός τις, καθάπερ ὁ οὐρανὸς τῶν πάντων ὅριον) οὐρανὸν καὶ Μουσῶν γε Οὐρανίαν. πᾶν δέ, ὅτι ἀριθμὸς φυσικῶς πλείων οὐδεὶς ἔστιν, ἀλλ' εἴ γέ τις ἐπινοεῖται, κατὰ παλινῳδίαν ἐπ' αὐτόν πως ἀνακυκλεῖται· ἑκατοντὰς γὰρ δέκα δεκάδες, καὶ χιλιὰς δέκα ἑκατοντάδες, καὶ μυριὰς δέκα χιλιάδες, καὶ ἄλλων ἕκαστος οὕτως ἢ εἰς αὐτὴν ἢ εἴς τινα τῶν ἐντὸς αὐτῆς ἀναποδισθήσεται παλινοδούμενος.... Πάντων οὖν εἰς

αὐτὴν ἡ ἀνάλυσις καὶ ἡ ἀναστροφὴ παντοία· ἢ πῶν
ἡ δεκὰς καλεῖται ἀπὸ τοῦ μυθευομένου· δεκὰς γὰρ
καὶ οὕτως τιμᾶται, καὶ ταῖς τῶν μηνῶν δεκαταίαις
παρὰ τῶν ἀγροίκων τιμᾶται, καὶ [ὑπὸ δέκα] καὶ
ἐπίπαν ὑπὸ ποιμένων, αἰπόλων, βουπόλων, ἱππο-
φορβῶν, πολεμικῶν, κυνηγῶν, ἁλιέων, κηπουρῶν,
ὑλοτόμων τῶν θαμαλίους τινὰς καταβαλλομένων.
Καὶ τῷ ἀνθρωπίνῳ δὲ γένει δέκα ζώων ἰδέας συν-
αριθμεῖσθαι λέγεται, μῦνα, ὄρνιν, βοῦν, ἵππον, ὄνον,
61 ὀρέα, χῆνα, αἶγα, πρόβατον, γαλῆν. Εἱμαρμέ-
την δὲ πάλιν ἔλεγον, παρ' ὅσον οὐδεμία ἰδιότης οὔτε
ἐν ἀριθμοῖς οὔτε ἐν τοῖς σώμασι κατ' ἀριθμοῦ σύστα-
σίν ἐστιν, ἢ αὐτὴ ἐν δεκάδι καὶ τοῖς ἐντὸς αὐτῆς
σπερματικῶς καταβέβληται, κατὰ εἱρμὸν δὲ λοιπὸν
καὶ ἀκολουθίαν διατείνει καὶ ἐπὶ τὰ μετ' αὐτήν, εἱ-
μαρμένη δὲ ὡς εἱρομένη τις καὶ εὐτακτουμένη ἀπό-
βασις. Λίωνα δέ, ὅτι περιεπτικῶς τῶν ὅλων οὗτος
τελειότατος ὢν καὶ ἄϊδιος, τελεστικὸς τῶν ἁπάντων,
ὡς ἡ δεκάς, ἐλέχθη· κράτος δέ, ὅτε κρατύνεσθαί τε
τὰ κοσμικὰ δι' αὐτοῦ συμβέβηκε καὶ τῶν ἄλλων κρα-
τεῖν ἀριθμῶν ὁ δέκα φαίνεται, πάντων τε λόγων
ἔρως τις καὶ περίπλεισις καὶ δοχεῖον· διόπερ καὶ
κλειδοῦχος ἐκαλεῖτο, πρὸς τῷ καὶ τοῦ μέχρι τε-
τράδος εἶναι συστήματος. Πίστις γε μὴν καλεῖται,
ὅτι κατὰ τὸν Φιλόλαον δεκάδι καὶ τοῖς αὐτῆς μο-
ρίοις περὶ τῶν ὄντων οὐ παρέργως καταλαμβανομέ-
νοις πίστιν βεβαίαν ἔχομεν· διόπερ καὶ μνήμη λέ-
γοιτ' ἂν ἐκ τῶν αὐτῶν, ἀφ' ὧν καὶ μοναὶς Μνημο-
σύνη ὠνομάσθη. Εἰ δὲ καὶ τὴν Ἀνάγκην οἱ θεολό-
γοι τῇ τοῦ παντὸς οὐρανοῦ ἐξωτάτῃ ἅντυγι ἐπη-
χοῦσι, διηνεκῶς ἐλαύνουσαν καὶ κατεπείγουσαν ἀδα-
μαντίνῳ καὶ ἀτρύτῳ μίσιγι τὴν σύμπασιν περιδί-
νησιν, εἴη ἂν καὶ οὕτως ἡ δεκὰς Ἀνάγκη, πάντα
περιορίζουσα καὶ ἀλλήλοις καταμιγνύουσα, καὶ πά-
λιν διϊστέλλουσα καὶ πίπτουσιν καὶ ἀλληλουχίαν ἐμποι-
οῦσα τοῖς οὖσιν. Δι' αὐτὴν σφαῖραι τοῦ παντὸς

αἱ δέκα. Ἄτλας δέ, παρ' ὅσον ὁ μὲν Τιτὰν μυθεύεται φέρειν ἐπὶ τοῖς ὤμοις τὸν οὐρανόν· φησὶ γάρ·

ἔχει δέ τε κίονας αὐτὸς
Μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν.

Ἡ δὲ δεκὰς τὸν τῶν σφαιρῶν συγκρατεῖ λόγον, οἷον πασῶν τις διάμετρος οὖσα, καὶ περιάγουσα ταύτας καὶ περικλείουσα συνεκτικώτατα. Ὅτι καὶ Σπεύσιππος, ὁ Ποτώνης μὲν υἱὸς τῆς τοῦ Πλάτωνος ἀδελφῆς, διάδοχος δὲ ἀκαδημίας, παρὰ Ξενοκράτους ἐξαιρέτως σπουδασθεισῶν ἀεὶ Πυθαγορικῶν ἀκροάσεων, μάλιστα δὲ τῶν Φιλολάου συγγραμμά- 62
των, βιβλίδιόν τι συντάξας γλαφυρὸν ἐπέγραψε μὲν αὐτὸ περὶ Πυθαγορικῶν ἀριθμῶν, ἀπ' ἀρχῆς δὲ μέχρι ἡμίσους περὶ τῶν ἐν αὐτοῖς γραμμικῶν ἐμμελέστατα διεξελθών, πολυγωνίων τε καὶ παντοίων τῶν ἐν ἀριθμοῖς ἐπιπέδων ἅμα καὶ στερεῶν, περί τε τῶν πέντε σχημάτων, ἃ τοῖς κοσμικοῖς ἀποδίδοται στοιχείοις, ἰδιάτητος αὐτῶν πρὸς ἄλληλα καὶ κοινότητος, ἀναλογίας τε καὶ ἀνακολουθίας, μετὰ ταῦτα λοιπὸν θάτερον τὸ τοῦ βιβλίου ἥμισυ περὶ δεκάδος ἀντικρυς ποιεῖται, φυσικωτάτην αὐτὴν ἀποφαίνων καὶ τελεστικωτάτην τῶν ὄντων, οἷον εἰδός τι τῶν κοσμικῶν ἀποτελεσμάτων τεχνικὸν ἀφ' ἑαυτῆς, ἀλλ' οὐχ ἡμῶν νομισάντων ἢ ὡς ἔτυχεν ἢ ἤθελεν, ὑπάρχουσα καὶ παράδειγμα παντελέστατον τῷ τοῦ παντὸς ποιητῇ θεῷ προεκπεμπόμενη. Λέγει δὲ τὸν τρόπον τοῦτον περὶ αὐτῆς. Ἔστι δὲ τὰ δέκα τέλειος, καὶ ὀρθῶς τε καὶ κατὰ φύσιν εἰς τοῦτον καταντῶμεν παντοίως ἀριθμοῦντες Ἕλληνές τε καὶ πάντες ἄνθρωποι, οὐδὲν αὐτοὶ ἐπιτηδεύοντες· πολλὰ γὰρ ἴδια ἔχει, ἃ προσήκει τὸν οὕτω τέλειον ἔχειν [πολλὰ δὲ ἴδια μὲν οὐκ ἔστιν αὐτοῦ· δεῖ δὲ ἔχειν αὐτὰ τέλειον]· πρῶτον μὲν οὖν ἄρτιον δεῖ εἶναι, ὅπως ἴσοι ἑνῶσιν οἱ περισσοί τε καὶ ἄρτιοι, καὶ μὴ ἑτερομερεῖς· ἐπεὶ

ἔχοντα κάλλη· πρῶτον μὲν γὰρ συνέστηκεν ἐκ τοῦ διπλασίου καὶ τοῦ τριπλασίου τῶν κατὰ τὸ ἑξῆς συντεθειμένων, διπλασίων μὲν ἁ β΄ δ΄ ἡ· ταῦτα δέ ἐστι ιέ· τριπλασίων δὲ ἁ γ΄ θ΄ κζ΄, ἅπερ εἰσὶ μ΄· ταῦτα δὲ συντιθέμενα ποιεῖ τὸν νέ. Ὧν καὶ Πλάτων μέμνηται τῆς ψυχογονίας ἀρχόμενος οὕτως· μίαν ἀφεῖλεν ἀπὸ παντὸς μοῖραν, καὶ τὰ ἑξῆς. Δεύτερον ὁ μὲν νέ ἀριθμὸς δεκάδος ἐστὶ σύνθεσις, ὁ δὲ τπέ τῆς δυνάμει δεκάδος· ἐὰν γὰρ ἐκ τῶν ἀπὸ μονάδος μέχρι δεκάδος πολλαπλασιάσῃς, συνθήσεις τὸν προειρημένον ἀριθμὸν τὸν τπέ· τὰ δὲ τπέ τοῦ νέ τὸ ἑπταπλάσιον· ἔτι ἐὰν ψηφίσῃς τὸ ἓν ἐν γράμμασιν, εὑρήσεις κατὰ σύνθεσιν τὸν νέ. Ἔτι δὲ ἡ γονιμωτάτη ἑξὰς ἐφ᾽ ἑαυτῇ πολλαπλασιασθεῖσα δυνάμει ἐπιγεννᾷ τὸν λστ΄· ἔστι δὲ ἑπτὰ τούτου μέρη γενόμενα οὕτως, δὶς ιή, τρὶς ιβ΄, τετράκις θ΄, ἑξάκις στ΄, ἐννεάκις δ΄, δωδεκάκις γ΄, ὀκτωκαιδεκάκις β΄· γίνονται μέρη μὲν ἑπτά, ἀριθμὸς δὲ ὁ νέ. Ἔτι τρίγωνα πέντε κατὰ τὸ ἑξῆς γεννῶσι τὸν νέ· γ΄, στ΄, ί, ιέ, κά γίνονται νέ· πάλιν τετράγωνοι πέντε κατὰ τὸ ἑξῆς ά δ΄ θ΄ ιστ΄ κέ γίνονται νέ· ἐκ δὲ τριγώνου καὶ τετραγώνου ἡ τοῦ ὅλου γένεσις κατὰ πλείονα. Ἐκ μὲν ἰσοπλεύρων τριγώνων τρία σχήματα συνίστανται, πυραμίς, ὀκτάεδρον, εἰκοσάεδρον· ἡ μὲν πυρὸς σχῆμα, τὸ δὲ ἀέρος, τὸ δὲ ὕδατος· ἐκ δὲ τετραγώνων ὁ κύβος· τοῦτο δὲ σχῆμα γῆς ἐστίν.

ΝΙΚΟΜΑΧΟΥ

ΕΙΣΑΓΩΓΗ ΑΡΙΘΜΗΤΙΚΗ.

ТОЛКОВЫЙ

Νικομάχου Γερασηνοῦ
Ἀριθμητικῆς εἰσαγωγῆς
τῶν εἰς δύο τὸ πρῶτον.

α. Οἱ παλαιοὶ καὶ πρῶτοι μεθοδεύσαντες ἐπιστήμην, κατάρξαντος Πυθαγόρου, ὡρίζοντο φιλοσοφίαν εἶναι φιλίαν σοφίας, ὡς καὶ αὐτὸ τὸ ὄνομα ἐμφαίνει, τῶν πρὸ Πυθαγόρου πάντων σοφῶν καλουμένων συγκεχυμένῳ ὀνόματι, ὥσπερ καὶ τέκτων καὶ σκυτοτόμος καὶ κυβερνήτης καὶ ἁπλῶς πᾶς ὁ τέχνης τινὸς ἢ δημιουργίας ἔμπειρος· ἀλλ' ὅ γε Πυθαγόρας συστείλας τὸ ὄνομα ἐπὶ τὴν τοῦ ὄντος ἐπιστήμην καὶ κατάληψιν, καὶ μόνην τὴν ἐν τούτῳ γνῶσιν τῆς ἀληθείας σοφίαν ἰδίως καλέσας, εἰκότως τὴν ταύτης ὄρεξιν καὶ μεταδίωξιν φιλοσοφίαν προσηγόρευσεν, οἷον σοφίας ὄρεξιν. Ἀξιοχρεώτερος δέ ἐστι τῶν ἄλλως ὁριζομένων, παρ' ὅσον ἰδίου ὀνόματος καὶ πράγματος ἔννοιαν δηλοῖ· καὶ ταύτην δὲ τὴν σοφίαν ὡρίζετο ἐπιστήμην τῆς ἐν τοῖς οὖσιν ἀληθείας, ἐπιστήμην μὲν οἰόμενος εἶναι κατάληψιν τοῦ ὑποκειμένου ἁπταιστον καὶ ἀμετακίνητον, ὄντα δὲ τὰ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἀεὶ διατελοῦντα ἐν τῷ κόσμῳ καὶ οὐδέποτε τοῦ εἶναι ἐξιστάμενα οὐδὲ ἐπὶ βραχύ· ταῦτα δ' ἂν εἴη τὰ ἄϋλα καὶ ἀΐδια, ὧν κατὰ μέτουσίαν ἕκαστον λοιπὸν τῶν ὁμωνύμως ὄντων καὶ καλουμένων τόδε τι λέγεται καὶ ἔστι. Τὰ μὲν γὰρ σωματικὰ δήπου καὶ ὑλικὰ ἐν διηνεκεῖ ῥύσει καὶ μεταβολῇ διὰ παντὸς ἐστι, μιμούμενα τὴν τῆς ἐξ ἀρ-

ἀνόμοιον δὲ τὸ ἑτερόμηκες· φάχα δὲ παπειδὴ μάλιστα τῇ πλευρᾷ ὁμοιοῦθη· ὡς γὰρ ἐκείνη τρίτην χώραν ἐν τῇ φυσικῇ εἴληχεν, οὕτω καὶ ἡ ἐννεὰς τρίτη ἐν τῇ κατ' αὐτὴν ἀναλόγῳ προβάσει. Καὶ Ἥφαιστον δὲ αὐτὴν ἐπωνόμαζον, ὅτι μέχρι αὐτῆς ὥσπερ κατὰ χώνευσιν καὶ ἀναφορὰν ἡ ἄνοδος· καὶ Ἥραν παρὰ τὸ κατ' αὐτὴν τετάχθαι τὴν τοῦ ἀέρος σφαῖραν ἐπὶ ταῖς ἡ ἐννάτῃ κ οὔσαν· καὶ Διὸς ἀδελφὴν καὶ σύνευνον διὰ τὴν πρὸς μονάδα συζυγίαν· ἑκάεργον ἀπὸ τοῦ εἴργειν τὴν ἐκὰς πρόβασιν τοῦ ἀριθμοῦ· νυσσηΐταν ἀπὸ τοῦ ἐπὶ νύσσαν καὶ ὡσανεὶ τέρμα τι τῆς προόδου τετάχθαι· Κουρήτιδα δὲ ἰδίως καὶ Ὀρφεὺς καὶ Πυθαγόρας αὐτὴν τὴν ἐννεάδα ἐκάλουν, ἅτε Κουρήτιδα ἱερὰν ὑπάρχουσαν τριῶν τριμερῆ, ἢ κόρην γε, ἅπερ ἀμφότερα τριάδι ἐφαρμόσθη, τρὶς τοῦτο ἐχούσῃ· καὶ Ὑπερίονα διὰ τὸ ὑπὲρ πάντας τοὺς ἄλλους εἰς μέγεθος ἐληλυθέναι· καὶ Τερψιχόρην ἀπὸ τοῦ τρέπειν καὶ ὡς χορὸν ἀνακυκλοῦν τὴν τῶν λόγων παλιμπέτειαν καὶ σύνευσιν ὡς εἰς μέσον καὶ τὴν ἀρχὴν ἀπὸ τέλους τινός· ἐννεὰς ἀπὸ περισσοῦ πρῶτος τετράγωνος. Καλεῖται δὲ αὐτὴ τελεσφόρος, τελειοῖ δὲ τὰ ἐννεάμηνα· ἔτι τέλειος, ὅτι ἀπὸ τελείου τοῦ γ' γίνεται. Αἱ σφαῖραι περὶ ἐννάτην γῆν στρέφονται. Λέγεται δὲ καὶ τοὺς τῶν συμφωνιῶν λόγους ἔχειν θ', δ', γ', β'· ἐπίτριτον τὸν δ' πρὸς γ', ἡμιόλιον τὸν γ' πρὸς β', διπλάσιον τὸν δ' πρὸς β'· πρῶτός ἐστιν ἑπόγδοος.

59

ι'. Περὶ δεκάδος.

Πολλάκις ἔφθημεν εἰπόντες, τὸν τεχνικὸν νοῦν πρὸς τὰς ἀριθμοῦ ἐμφερείας καὶ ἁρμοιώσεις ὡς πρὸς παράδειγμά τι πάντελὲς ἀπεργάσασθαι τὴν τοῦ κόσμου καὶ τῶν ἐν κόσμῳ πάντων κατασκευήν τε καὶ σύστασιν· ἐπεὶ δὲ ἀόριστον τὸ ὅλον πλῆθος ἦν καὶ ἀδιεξίτητος ἡ τοῦ ἀριθμοῦ πᾶσα ὑπόστασις, οὐκ ἦν εὔλογον οὐδ' ἄλλως ἐπιστημονικόν, ἀπεριλήπτῳ χρῆ-

σθαι παραδείγματι, ἔδει δὲ συμμετρίας, ἵνα τῶν προκειμένων αὐτῷ ὅρων καὶ μέτρων ὁ τεχνίτης θεὸς ἐν τῇ δημιουργίᾳ περιγένηται καὶ περικρατήσῃ, καὶ μήτε ἐπ' ἔλαττον μήτε ἐπὶ πλέον τοῦ προειρημένου ἦτοι ἐνδεῶς συστείλῃ ἢ πλημμελῶς ὑπερεκπέσῃ· φυσικὴ δέ τις συσταθμία καὶ μετριότης καὶ ὅλωσις ἐν τῇδε μάλιστα ὑπῆρχε· πάντα μὲν σπερματικῶς ἐντὸς αὐτῆς περιειληφυῖα, στερεὰ καὶ ἐπίπεδα, ἄρτιά τε καὶ περισσὰ καὶ ἀρτιοπέρισσα, καὶ τέλεια πᾶσι 60
τρόποις, πρῶτά τε καὶ ἀσύνθετα, ἰσότητά τε καὶ ἀνισότητα, τὰς δὲ δέκα σχέσεις, διαμετρικά τε καὶ σφαιρικὰ καὶ κυκλικά, μηδεμίαν δὲ ἰδιάζουσαν ἢ φυσικὴν ἄλλως παραλλαγὴν καθ' ἑαυτὴν ἔχουσα, ὅτα μὴ κατ' ἐπιδρομὴν καὶ ἀνακύκλησιν τὴν εἰς ἑαυτήν. Εἰκότως μέτρῳ τῶν ὅλων αὐτῇ καὶ ὥσπερ γνώμονι καὶ εὐθυντηρίῳ ἐχρήσατο πρὸς τὴν πρόθεσιν ἁρμοζόμενος· διόπερ τοὺς κατ' αὐτὴν λόγους συμφώνους ἔχοντα τὰ ἀπ' οὐρανοῦ μέχρι γῆς ὁλοσχερέστερόν τε καὶ κατὰ μέρος εὑρίσκεται καὶ διακεκοσμημένα κατ' αὐτήν. Διόπερ καὶ ἐπωνόμαζον αὐτὴν θεολογοῦντες οἱ Πυθαγορικοὶ ποτὲ μὲν κόσμον, ποτὲ δὲ οὐρανόν, ποτὲ δὲ πᾶν, ποτὲ δὲ εἱμαρμένην καὶ αἰῶνα, κράτος τε καὶ πίστιν καὶ Ἀνάγκην, Ἄτλαντά τε καὶ ἀκάμαντα, καὶ θεὸν ψιλῶς, καὶ Φάνητα καὶ ἥλιον· ἀπὸ μὲν τοῦ κατ' αὐτὴν διατετάχθαι τὰ ὅλα καθόλου τε καὶ κατὰ μέρος κόσμον, ἀπὸ δὲ τοῦ ὅρον τὸν τελειότατον ἀριθμοῦ εἶναι (παρ' ὃ δεκὰς οἱονεὶ δοχάς, καθάπερ ὁ οὐρανὸς τῶν πάντων δοχεῖον) οὐρανὸν καὶ Μουσῶν γε Οὐρανίαν· πᾶν δέ, ὅτι ἀριθμὸς φυσικῶς πλείων οὐδείς ἐστιν, ἀλλ' εἴ γέ τις ἐπινοεῖται, κατὰ παλινοδίαν ἐπ' αὐτόν πως ἀνακυκλεῖται· ἑκατοντὰς γὰρ δέκα δεκάδες, καὶ χιλιὰς δέκα ἑκατοντάδες, καὶ μυριὰς δέκα χιλιάδες, καὶ ἄλλων ἕκαστος οὕτως ἢ εἰς αὐτὴν ἢ εἴς τινα τῶν ἐντὸς αὐτῆς ἀναποδισθήσεται παλινοδούμενος. Πάντων οὖν εἰς

αὐτὴν ἡ ἀνάλυσις καὶ ἡ ἀναστροφὴ παντοία· ἢ πῶν ἡ δεκὰς καλεῖται ἀπὸ τοῦ μυθευομένου· δεκὰς γὰρ καὶ οὗτος τιμᾶται, καὶ ταῖς τῶν μηνῶν δεκαταίαις παρὰ τῶν ἀγροίκων τιμᾶται, καὶ [ὑπὸ δέκα] καὶ ἐπίπαν ὑπὸ ποιμένων, αἰπόλων, βουκόλων, ἱπποφορβῶν, πολεμικῶν, κυνηγῶν, ἁλιέων, κηπουρῶν, ὑλοτόμων τῶν θεμελίους τινὰς καταβαλλομένων. Καὶ τῷ ἀνθρωπίνῳ δὲ γένει δέκα ζώων ἰδέας συναπτέναι λέγεται, νύνα, ὄρνιν, βοῦν, ἵππον, ὄνον, 61 ἀρέα, χῆνα, αἶγα, πρόβατον, γαλῆν. Εἱμαρμένην δὲ πάλιν ἔλεγον, παρ' ὅσον οὐδεμία ἰδιότης οὔτε ἐν ἀριθμοῖς οὔτε ἐν τοῖς οὖσι κατ' ἀριθμοῦ σύστασίν ἐστιν, ἢ μὴ ἐν δεκάδι καὶ τοῖς ἐντὸς αὐτῆς σπερματικῶς καταβέβληται, κατὰ εἱρμὸν δὲ λοιπὸν καὶ ἀκολουθίαν διατείνει καὶ ἐπὶ τὰ μετ' αὐτήν, εἱμαρμένη δὲ ὡς εἱρομένη τις καὶ εὐτακτουμένη ἀπόβασις. Λίωνα δέ, ὅτι περιεπτικῶς τῶν ὅλων οὗτος τελειότατος ὢν καὶ ἄϊδιος, τελεστικὸς τῶν ἁπάντων, ὡς ἡ δεκάς, ἐλέχθη· κράτος δέ, ὅτι κρατύνεσθαί τε τὰ κοσμικὰ δι' αὐτοῦ συμβέβηκε καὶ τῶν ἄλλων κρατεῖν ἀριθμῶν ὁ δέκα φαίνεται, πάντων τε λόγων ἔρκος τι καὶ περίκλεισις καὶ δοχεῖον· διόπερ καὶ κλειδοῦχος ἐκαλεῖτο, πρὸς τῷ καὶ τοῦ μέχρι τετράδος εἶναι συστήματος. Πίστις γε μὴν καλεῖται, ὅτι κατὰ τὸν Φιλόλαον δεκάδι καὶ τοῖς αὐτῆς μορίοις περὶ τῶν ὄντων οὐ παρέργως καταλαμβανομένοις πίστιν βεβαίαν ἔχομεν· διόπερ καὶ μνήμη λέγοιτ' ἂν ἐκ τῶν αὐτῶν, ἀφ' ὧν καὶ μοναὶς Μνημοσύνη ὠνομάσθη. Εἰ δὲ καὶ τὴν Ἀνάγκην οἱ θεολόγοι τῇ τοῦ παντὸς οὐρανοῦ ἐξωτάτῃ ἄντυγι ἐπηχοῦσαι, διηνεκῶς ἐλαύνουσαν καὶ κατεπείγουσαν ἀδαμαντίνῳ καὶ ἀτρύτῳ μίστυλι τὴν σύμπασαν περιδίνησιν, εἴη ἂν καὶ οὕτως ἡ δεκὰς Ἀνάγκη, πάντα περιορίζουσα καὶ ἀλλήλοις καταμιγνύουσα, καὶ πάλιν διϊστᾶσα καὶ πίπτουσαν καὶ ἀλληλουχίαν ἐμποιοῦσα τοῖς οὖσιν. Δι' ὃ καὶ αὐτὴν σφαῖραι τοῦ παντὸς

αἱ δέκα. Ἄτλας δέ, παρ' ὅσον ὁ μὲν Τιτὰν μυθεύεται φέρειν ἐπὶ τοῖς ὤμοις τὸν οὐρανόν· φησὶ γάρ·

ἔχει δέ τε κίονας αὐτὸς
Μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν.

Ἡ δὲ δεκὰς τὸν τῶν σφαιρῶν συγκρατεῖ λόγον, οἷον πασῶν τις διάμετρος οὖσα, καὶ περιάγουσα ταύτας καὶ περικλείουσα συνεκτικώτατα. Ὅτι καὶ Σπεύσιππος, ὁ Ποτώνης μὲν υἱὸς τῆς τοῦ Πλάτωνος ἀδελφῆς, διάδοχος δὲ ἀκαδημίας, παρὰ Ξενοκράτους ἐξαιρέτως σπουδασθεισῶν ἀεὶ Πυθαγορικῶν ἀκροάσεων, μάλιστα δὲ τῶν Φιλολάου συγγραμμάτων, βιβλίδιόν τι συντάξας γλαφυρὸν ἐπέγραψε μὲν αὐτὸ περὶ Πυθαγορικῶν ἀριθμῶν, ἀπ' ἀρχῆς δὲ μέχρι ἡμίσους περὶ τῶν ἐν αὐτοῖς γραμμικῶν ἐμμελέστατα διεξελθών, πολυγωνίων τε καὶ παντοίων τῶν ἐν ἀριθμοῖς ἐπιπέδων ἅμα καὶ στερεῶν, περί τε τῶν πέντε σχημάτων, ἃ τοῖς κοσμικοῖς ἀποδίδοται στοιχείοις, ἰδιότητος αὐτῶν πρὸς ἄλληλα καὶ κοινότητος, ἀναλογίας τε καὶ ἀνακολουθίας, μετὰ ταῦτα λοιπὸν θάτερον τὸ τοῦ βιβλίου ἥμισυ περὶ δεκάδος ἄντικρυς ποιεῖται, φυσικωτάτην αὐτὴν ἀποφαίνων καὶ τελεστικωτάτην τῶν ὄντων, οἷον εἶδός τι τῶν κοσμικῶν ἀποτελεσμάτων τεχνικὸν ἀφ' ἑαυτῆς, ἀλλ' οὐχ ἡμῶν νομισάντων ἢ ὡς ἔτυχεν ἢ ἤθελεν, ὑπάρχουσα καὶ παράδειγμα παντελέστατον τῷ τοῦ παντὸς ποιητῇ θεῷ προεκκειμένη. Λέγει δὲ τὸν τρόπον τοῦτον περὶ αὐτῆς. Ἔστι δὲ τὰ δέκα τέλειος, καὶ ὀρθῶς τε καὶ κατὰ φύσιν εἰς τοῦτον καταντῶμεν παντοίως ἀριθμοῦντες Ἕλληνές τε καὶ πάντες ἄνθρωποι, οὐδὲν αὐτοὶ ἐπιτηδεύοντες· πολλὰ γὰρ ἴδια ἔχει, ἃ προσήκει τὸν οὕτω τέλειον ἔχειν [πολλὰ δὲ ἴδια μὲν οὐκ ἔστιν αὐτοῦ· δεῖ δὲ ἔχειν αὐτὰ τέλειον]· πρῶτον μὲν οὖν ἄρτιον δεῖ εἶναι, ὅπως ἴσοι ἑνῶσιν οἱ περισσοί τε καὶ ἄρτιοι, καὶ μὴ ἑτερομερεῖς· ἔπειτ

62

γὰρ πρότερος ἀεί ἐστιν ὁ περισσὸς τοῦ ἀρτίου, εἰ μὴ ἄρτιος εἴη ὁ συμπεραίνων, πλεονεκτήσει ὁ ἕτερος· εἰ δὲ ἴσους ἔχει, χρὴ τοὺς πρώτους καὶ ἀσυνθέτους καὶ τοὺς δευτέρους καὶ συνθέτους· ὁ δὲ δέκα ἔχει ἴσους, καὶ οὐδεὶς ἂν ἄλλος ἐλάσσων τῶν δέκα τοῦτο ἔπαθεν ἀριθμός, πλείων δὲ τάχα· καὶ γὰρ ὁ ιβ' καὶ ἄλλοι τινές· ἀλλὰ πυθμὴν αὐτῶν ὁ δέκα, καὶ πρῶτος τοῦτο ἔχων, καὶ ἐλάχιστος τῶν ἐχόντων τέλος τι ἔχει, καὶ ἴδιόν πως αὐτὸ τοῦτο γέγονε τὸ ἐν πρώτῳ αὐτῷ ἴσους ἀσυνθέτους τε καὶ συνθέτους ὦφθαι· ἔχων τε τοῦτο ἔχει πάλιν καὶ τοὺς πολλαπλασίους καὶ τοὺς ὑποπολλαπλασίους, ὧν εἰσὶ πολλαπλάσιοι· ἔχει μὲν γὰρ ὑποπολλαπλασίους τοὺς μέ-
65 χρι πέντε, τοὺς δὲ ἀπὸ τῶν ἓξ μέχρι τῶν δέκα πολλαπλασίους αὐτῶν· ἐπεὶ δὲ τὰ ζ' οὐδενός, ἐξαιρετέον· καὶ τὰ δ', ὡς πολλαπλάσια τοῦ β', ὥστε ἴσους εἶναι πάλιν δεῖ. Ἔτι πάντες οἱ λόγοι ἐν τῷ ι, ὅ τε τοῦ ἴσου καὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος καὶ τοῦ ἐπιμορίου καὶ τῶν λοιπῶν εἰδῶν ἐν αὐτῷ, καὶ οἱ γραμμικοὶ οἱ ἐπίπεδοι καὶ οἱ στερεοί· τὸ μὲν γὰρ ἀ στιγμή, τὰ δὲ β' γραμμή, τὰ δὲ τρία τρίγωνον, τὰ δὲ δ' πυραμίς· ταῦτα δὲ πάντα ἐστὶ πρῶτα καὶ ἀρχαὶ τῶν καθ' ἕκαστον ὁμογενῶν. Καὶ ἀναλογιῶν δὲ πρώτη αὐτή ἐστιν ἡ ἐν αὐτοῖς ὀφθεῖσα ἡ τῷ ἴσῳ μὲν ὑπερέχουσα, τέλος δὲ ἔχουσα ἐν τοῖς δέκα. Ἔν τε ἐπιπέδοις καὶ στερεοῖς πρῶτά ἐστι ταῦτα, στιγμή, γραμμή, τρίγωνον, πυραμίς· ἔχει ταῦτα τὸν τῶν δέκα ἀριθμὸν καὶ τέλος ἴσχει· τετρὰς μὲν γὰρ ἐν πυραμίδος γωνίαις ἢ βάσεσι, ἓξὰς δὲ ἐν πλευραῖς, ὥστε δέκα, τετρὰς δὲ πάλιν ἐν στιγμῆς καὶ γραμμῆς διαστήμασι καὶ πέρασι, ἓξὰς δὲ ἐν τριγώνου πλευραῖς καὶ γωνίαις, ὥστε πάλιν δέκα. Καὶ μὴν καὶ ἐν τοῖς σχήμασι κατ' ἀριθμὸν σκεπτομένῳ συμβαίνει· πρῶτον γάρ ἐστι τρίγωνον τὸ ἰσόπλευρον, ὃ ἔχει μίαν πως γραμμὴν καὶ γωνίαν· λέγω δὲ μίαν, διότι ἴσας ἔχει· ἀσχιστον γὰρ ἀεὶ καὶ ἁπλουστάτη τὸ

ἴσον· δεύτερον δὲ τὸ ἡμιτετράγωνον· μίαν γὰρ
ἔχον παραλλαγὴν γραμμῶν καὶ γωνιῶν ἐν δυάδι ὁρᾶ-
ται· τρίτον δὲ τὸ τοῦ ἰσοπλεύρου ἥμισυ τὸ καὶ ἡμι-
τρίγωνον· πάντως γὰρ ἄνισον καθ' ἕκαστον, τὸ δὲ
πᾶν αὐτοῦ τρία ἐστί. Καὶ ἐπὶ τῶν στερεῶν εὑρί-
σκοις ἂν ἄχρι τῶν τεττάρων προϊὼν τὸ τοιοῦτο,
ὥστε δεκάδος καὶ οὕτως ψαύει· τριὰς γάρ πως ἡ μὲν
πρώτη πυραμὶς μίαν πως γραμμήν τε καὶ ἐπιφάνειαν
ἐν ἰσότητι ἔχουσα, παρὰ τῆς ἐπὶ τῆς βάσεως γωνίας
ὑπὸ τριῶν ἐπιπέδων περιεχομένη, τὴν κατὰ κορυ-
φὴν ὑπὸ τεττάρων συγκλειομένη, ὥστε ἐκ τούτου
δυάδι ἐοικέναι· ἡ δὲ τρίτη τριάδι, ἐπὶ ἡμιτετρα-
γώνου βεβηκυῖα, καὶ σὺν τῇ ὀφθείσῃ μιᾷ ὡς ἐν ἐπι-
πέδῳ τῇ ἡμιτετραγώνῳ ἔτι καὶ ἄλλην ἔχουσα διαφο-
ρὰν τὴν τῆς κορυφαίας γωνίαν, ὥστε τριάδι ἂν 64
ὁμοιοῖτο πρὸς ὀρθὰς τὴν γωνίαν ἔχουσα τῇ τῆς βά-
σεως μέσῃ πλευρᾷ· τετράδι δὲ ἡ τετάρτη κατὰ
ταῦτα, ἐπὶ ἡμιτετραγώνῳ βάσει συνισταμένη, ὥστε
τέλος ἐν τοῖς δέκα λαμβάνειν τὰ λεχθέντα. Τὰ αὐτὰ
δὲ καὶ ἐν τῇ γενέσει· πρώτη μὲν γὰρ ἀρχὴ εἰς μέγε-
θος στιγμή, δευτέρα γραμμή, τρίτη ἐπιφάνεια,
τέταρτον στερεόν.

Ἀνατολίου.

Ἡ δεκὰς γεννᾶται δυνάμει ἐξ ἀρτίου καὶ περισσοῦ· πεντάκις γὰρ δύο δέκα. Κύκλος ἐστὶ παντὸς ἀριθμοῦ καὶ πέρας· περὶ αὐτὸν γὰρ εἰλούμενοι καὶ ἀνακάμπτοντες ὥσπερ καμπτῆρα δολιχεύουσιν. Ὅτι ὅρος ἐστὶ τῆς ἀπειρίας τῶν ἀριθμῶν. Καλεῖται δὲ κράτος καὶ παντέλεια, ἐπεὶ πάντα περαίνει τὸν ἀριθμόν, περιέχουσα πᾶσαν φύσιν ἐντὸς ἑαυτῆς ἀρτίου τε καὶ περισσοῦ, κινουμένου τε καὶ ἀκινήτου, ἀγαθοῦ τε καὶ κακοῦ. Ἔτι γέγονεν ἐκ τῶν πρώτων ἀριθμῶν τῆς τετρακτύος συνθέτων ά, β', γ', δ', καὶ ὁ κ' ἐκ δὶς ἑκάστου αὐτῶν. Ἔτι ἡ δεκὰς ἀριθμὸν γεννᾷ τὸν έ καὶ ν', θαυμαστὰ περι-

ἔχοντα κάλλη· πρῶτον μὲν γὰρ συνέστηκεν ἐκ τοῦ διπλασίου καὶ τοῦ τριπλασίου τῶν κατὰ τὸ ἑξῆς συντεθειμένων, διπλασίων μὲν ἀ β′ ὀ ή· ταῦτα δέ ἐστι ιέ· τριπλασίων δὲ ἀ γ′ ὀ′ κζ, ἅπερ εἰσὶ μ′· ταῦτα δὲ συντιθέμενα ποιεῖ τὸν νέ. Ὧν καὶ Πλάτων μέμνηται τῆς ψυχογονίας ἀρχόμενος οὕτως· μίαν ἀφεῖλεν ἀπὸ παντὸς μοῖραν, καὶ τὰ ἑξῆς. Δεύτερον ὁ μὲν νέ ἀριθμὸς δεκάδος ἐστὶ σύνθεσις, ὁ δὲ τπέ τῆς δυνάμει δεκάδος· ἐὰν γὰρ ἐκ τῶν ἀπὸ μονάδος μέχρι δεκάδος πολλαπλασιάσῃς, συνθήσεις τὸν προειρημένον ἀριθμὸν τὸν τπέ· τὰ δὲ τπέ τοῦ νέ τὸ ἑπταπλάσιον· ἔτι ἐὰν ψηφίσῃς τὸ ἓν ἐν γράμμασιν, εὑρήσεις κατὰ σύνθεσιν τὸν νέ. Ἔτι δὲ ἡ γονιμωτάτη ἑξὰς ἐφ' ἑαυτῇ πολλαπλασιασθεῖσα δυνάμει ἐπιγεννᾷ τὸν λσ′· ἔστι δὲ ἑπτὰ τούτου μέρη γενόμενα οὕτως, δὶς ιή, τρὶς ιβ′, τετράκις θ′, ἑξάκις σ′, ἑννεάκις δ′, δωδεκάκις γ′, ὀκτωκαιδεκάκις β′· γίνονται μέρη μὲν ἑπτά, ἀριθμὸς δὲ ὁ νέ. Ἔτι τρίγωνα πέντε κατὰ τὸ ἑξῆς γεννῶσι τὸν νέ· γ′, σ′, ι, ιέ, κά γίνονται νέ· πάλιν τετράγωνοι πέντε κατὰ τὸ ἑξῆς ά δ′ θ′ ισ′ κέ γίνονται νέ· ἐκ δὲ τριγώνου καὶ τετραγώνου ἡ τοῦ ὅλου γένεσις κατὰ πλείονα. Ἐκ μὲν ἰσοπλεύρων τριγώνων τρία σχήματα συνίστανται, πυραμίς, ὀκτάεδρον, εἰκοσάεδρον· ἡ μὲν πυρὸς σχῆμα, τὸ δὲ ἀέρος, τὸ δὲ ὕδατος· ἐκ δὲ τετραγώνων ὁ κύβος· τοῦτο δὲ σχῆμα γῆς ἐστίν.

ΝΙΚΟΜΑΧΟΥ

ΕΙΣΑΓΩΓΗ ΑΡΙΘΜΗΤΙΚΗ.

TOMMASEO

Νικομάχου Γερασηνοῦ
Ἀριθμητικῆς εἰσαγωγῆς
τῶν εἰς δύο τὸ πρῶτον.

ά. Οἱ παλαιοὶ καὶ πρῶτοι μεθοδεύσαντες ἐπιστήμην, κατάρξαντος Πυθαγόρου, ὡρίζοντο φιλοσοφίαν εἶναι φιλίαν σοφίας, ὡς καὶ αὐτὸ τὸ ὄνομα ἐμφαίνει, τῶν πρὸ Πυθαγόρου πάντων σοφῶν καλουμένων συγκεχυμένῳ ὀνόματι, ὥςπερ καὶ τέκτων καὶ σκυτοτόμος καὶ κυβερνήτης καὶ ἁπλῶς πᾶς ὁ τέχνης τινὸς ἢ δημιουργίας ἔμπειρος· ἀλλ' ὅ γε Πυθαγόρας συστείλας τὸ ὄνομα ἐπὶ τὴν τοῦ ὄντος ἐπιστήμην καὶ κατάληψιν, καὶ μόνην τὴν ἐν τούτῳ γνῶσιν τῆς ἀληθείας σοφίαν ἰδίως καλέσας, εἰκότως τὴν ταύτης ὄρεξιν καὶ μεταδίωξιν φιλοσοφίαν προσηγόρευσεν, οἷον σοφίας ὄρεξιν. Ἀξιοχρεώτερος δέ ἐστι τῶν ἄλλως ὁριζομένων, παρ' ὅσον ἰδίου ὀνόματος καὶ πράγματος ἔννοιαν δηλοῖ· καὶ ταύτην δὲ τὴν σοφίαν ὡρίζετο ἐπιστήμην τῆς ἐν τοῖς οὖσιν ἀληθείας, ἐπιστήμην μὲν οἰόμενος εἶναι κατάληψιν τοῦ ὑποκειμένου ἄπταιστον καὶ ἀμετακίνητον, ὄντα δὲ τὰ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἀεὶ διατελοῦντα ἐν τῷ κόσμῳ καὶ οὐδέποτε τοῦ εἶναι ἐξιστάμενα οὐδὲ ἐπὶ βραχύ· ταῦτα δ' ἂν εἴη τὰ ἄϋλα καὶ ἀΐδια, ὧν κατὰ μετουσίαν ἕκαστον λοιπὸν τῶν ὁμωνύμως ὄντων καὶ καλουμένων τόδε τι λέγεται καὶ ἔστι. Τὰ μὲν γὰρ σωματικὰ ὑπὸ του καὶ ὑλικὰ ἐν διηνεκεῖ ῥύσει καὶ μεταβολῇ διὰ παντός ἐστι· μιμούμενα τὴν τῆς ἐξ ἀρ-

χῆς ἀϊδίου ὕλης καὶ ὑποστάσεως φύσιν καὶ ἰδιότητα· ὅλη γὰρ δι' ὅλης ἦν τρεπτὴ καὶ ἀλλοιωτή· τὰ δὲ περὶ αὐτὴν ἢ καὶ σὺν αὐτῇ θεωρούμενα ἀσώματα, οἷον ποιότητες, ποσότητες, σχηματισμοί, μεγέθη, μικρότητες, ἰσότητες, σχέσεις, ἐνέργειαι, διαθέσεις, τόποι, χρόνοι, πάντα ἁπλῶς, οἷς περιέχεται τὰ ἐν ἑκάστῳ σώματι, ὑπάρχει καθ' ἑαυτὰ ἀκίνητα καὶ ἀμετάπτωτα, συμβεβηκότως δὲ μετέχει καὶ παραπολαύει τῶν περὶ τὸ ὑποκείμενον σῶμα παθῶν. Τῶν δὴ τοιούτων ἐξαιρέτως ἐπιστήμη ἐστὶν ἡ σοφία, συμβεβηκότως δὲ καὶ τῶν μετεχόντων αὐτῶν, ὅ ἐστι, σωμάτων.

β'. Ἀλλ' ἐκεῖνα μὲν ἄϋλα καὶ ἀΐδια καὶ ἀτελεύτητα καὶ διὰ παντὸς ὅμοια καὶ ἀπαράλλακτα πέφυκε διατελεῖν, ὡςαύτως τῇ ἑαυτῶν οὐσίᾳ ἐπιδιαμένοντα, καὶ ἕκαστον αὐτῶν κυρίως ὂν λέγεται, τὰ δὲ ἐν γενέσει τε καὶ φθορᾷ καὶ αὐξήσει καὶ μειώσει καὶ μεταβολῇ παντοίᾳ καὶ μετουσίᾳ φαίνεται διηνεκῶς τρεπόμενα, καὶ λέγεται μὲν ὁμωνύμως ἐκείνοις ὄντα, καθ' ὅσον αὐτῶν μετέχει, ἔστι δὲ τῇ ἑαυτῶν φύσει οὐκ ὄντως ὄντα· οὐδὲ γὰρ τὸ βραχύτατον ἐπὶ ταυτοῦ διαμένει, ἀλλ' ἀεὶ μεταῤῥεῖ καὶ μεταβαίνει παντοίως ἀλλασσόμενα κατὰ τὸν παρὰ Πλάτωνι Τίμαιον, ὅς φησι· τί τὸ ὂν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τί τὸ γιγνόμενον μέν, ὂν δὲ οὐδέποτε, τὸ μὲν δὴ νοήσει μετὰ λόγου περιληπτόν, ἀεὶ κατὰ ταυτὰ ὄν, τὸ δ' αὖ δόξῃ μετ' αἰσθήσεως ἀλόγου δοξαστόν, γιγνόμενόν τε καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν. Εὔλογον ἄρα καὶ ἀναγκαιότατον, εἰ τοῦ προσήκοντος καὶ ἀνθρώπῳ πρέποντος τέλους ἐφιέμεθα, τουτέστιν, εὐζωΐας (αὕτη δὲ διὰ φιλοσοφίας μόνης, ὑφ' ἑτέρου δὲ οὐδενός, συντελεῖται· φιλοσοφία δέ ἐστιν, ὡς ἔφην, σοφίας ὄρεξις, σοφία δὲ ἐπιστήμη τῆς ἐν τοῖς οὖσιν ἀληθείας, ὄντα δὲ τὰ μὲν κυρίως λεγόμενα, τὰ δὲ ὁμωνύμως), ἀκρι-

βῶς διελεῖν καὶ διαρθρῶσαι τὰ τοῖς οὖσι συμβεβηκότα. Τῶν τοίνυν ὄντων τῶν τε κυρίως καὶ τῶν καθ' ὁμωνυμίαν, ὅπερ ἐστί, νοητῶν τε καὶ αἰσθητῶν, τὰ μέν ἐστιν ἡνωμένα καὶ ἀλληλουχούμενα, οἷον ζῶον, δένδρον, κόσμος καὶ τὰ ὅμοια, ἅπερ κυρίως καὶ ἰδίως καλεῖται μεγέθη, τὰ δὲ διῃρημένα τε καὶ ἐν παραθέσει καὶ οἷον κατὰ σωρείαν, ἃ καλεῖται πλήθη, οἷον ποίμνη, δῆμος, χορός, σωρὸς καὶ τὰ παραπλήσια. Τῶν ἄρα δύο εἰδῶν τούτων ἐπιστήμην νομιστέον τὴν σοφίαν· ἀλλ' ἐπεὶ πᾶν πλῆθος καὶ πᾶν μέγεθος ἄπειρα τῇ ἑαυτῶν φύσει ἐξ ἀνάγκης ἐστί (τὸ μὲν γὰρ πλῆθος, ἀπὸ ὡρισμένης ῥίζης ἀρξάμενον, οὐ παύεται προκόπτον, τὸ δὲ μέγεθος, ἀπὸ ὡρισμένης ὁλότητος διαιρούμενον, οὐδαμῇ δύναται παύειν τὴν τομήν, ἀλλ' ἐπ' ἄπειρον διὰ ταῦτα προχωρεῖ), αἱ δὲ ἐπιστῆμαι πάντως πεπερασμένων εἰσὶν ἐπιστῆμαι, ἀπείρων δὲ οὐδέποτε, φαίνεται δή, ὅτι οὔτε περὶ ἁπλῶς μέγεθος οὔτε περὶ ἁπλῶς πλῆθος συσταίη ἄν ποτε ἐπιστήμη (ἀόριστον γὰρ ἑκάτερον καθ' ἑαυτό ἐστι, πλῆθος μὲν ἐπὶ τὸ πλεῖον, μέγεθος δὲ ἐπὶ τὸ ἔλαττον), ἀλλὰ περί τι ἀπ' ἀμφοῖν ἀφωρισμένον, ἀπὸ μὲν πλήθους περὶ τὸ ποσόν, ἀπὸ δὲ μεγέθους περὶ τὸ πηλίκον.

γ'. Πάλιν δὲ ἐξ ἀρχῆς, ἐπεὶ τοῦ ποσοῦ τὸ μὲν ὁρᾶται καθ' ἑαυτό, μηδεμίαν πρὸς ἄλλο σχέσιν ἔχον, οἷον ἄρτιον, περιττόν, τέλειον τὰ ἑοικότα, τὸ δὲ πρὸς ἄλλο πως ἔχον ἤδη καὶ σὺν τῇ πρὸς ἕτερον σχέσει ἐπινοούμενον, οἷον διπλάσιον, μεῖζον, ἔλαττον, ἥμισυ, ἡμιόλιον, ἐπίτριτον τὰ ἑοικότα, δῆλον ὅτι δύο μέθοδοι διαληψονται ἐπιστημονικαί, αἳ διευκρινήσουσι πᾶν τὸ περὶ τοῦ ποσοῦ σκέμμα, ἀριθμητικὴ μὲν τὸ περὶ τοῦ καθ' ἑαυτό, μουσικὴ δὲ τὸ περὶ τοῦ πρὸς ἄλλο. Πάλιν δὲ ἐπεὶ τοῦ πηλίκου τὸ μέν ἐστιν ἐν μονῇ καὶ στάσει, τὸ δὲ ἐν κινήσει καὶ περιφορᾷ, δύο ἕτεραι κατὰ τὰ αὐτὰ ἐπιστῆμαι ἀκριβώσουσι τὸ πηλίκον, τὸ μὲν μέχον

καὶ ἡ μεμιγμένη γεωμετρία, τὸ δὲ φερόμενον καὶ περιπολοῦν σφαιρικὴ. Οὐκ ἄρα τούτων ἄνευ δυνατὸν ἀκριβῶσαι τὰ τοῦ ὄντος εἴδη, οὐδ' ἄρα τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν εὑρεῖν, ἧς ἐπιστήμη σοφία, φαίνεται δέ, ὅτι οὐδ' ὀρθῶς φιλοσοφεῖν· ὅπερ γὰρ ζωγραφία συμβάλλεται τέχναις βαναύσοις πρὸς θεωρίας ὀρθότητα, τοῦτό τοι γραμμαὶ καὶ ἀριθμοὶ καὶ ἁρμονικὰ διαστήματα καὶ κύκλων περιπολήσεις πρὸς λόγων σοφῶν μαθήσιας συνεργίαν ἔχουσιν, Ἀνδροκύδης φησὶν ὁ Πυθαγορικός· ἀλλὰ καὶ Ἀρχύτας ὁ Ταραντῖνος ἀρχόμενος τοῦ ἁρμονικοῦ τὸ αὐτὸ οὕτω πως λέγει· Καλῶς μοι δοκοῦντι τὸ περὶ τὰ μαθήματα διαγνώμεναι, καὶ οὐδὲν ἄτοπον αὐτοὺς ὀρθῶς, οἷά ἐντι, περὶ ἑκάστου φρονέειν· περὶ γὰρ τᾶς τῶν ὅλων φύσιος καλῶς διαγνόντες, ἔμελλον καὶ περὶ τῶν κατὰ μέρος, οἷά ἐντι, καλῶς ὀψεῖσθαι· περί τε δὴ τᾶς ἀριθμητικᾶς καὶ γεωμετρίας καὶ σφαιρικᾶς παρέδωκαν ἄμμιν σαφῆ διάγνωσιν,
6 οὐχ ἥκιστα δὲ καὶ περὶ μωσικᾶς. Ταῦτα γὰρ τὰ μαθήματα δοκοῦντι ἔμμεναι ἀδελφεά· περὶ γὰρ ἀδελφεὰ τὰ τοῦ ὄντος πρώτιστα δύο εἴδεα τὰν ἀναστροφὰν ἔχει. Καὶ Πλάτων δὲ ἐπὶ τέλει τοῦ τρισκαιδεκάτου τῶν νόμων, ὅπερ τινὲς φιλόσοφον ἐπιγράφουσιν, ὅτι ἐν αὐτῷ περισκοπεῖ, ποταπὸν δεῖ τὸν ὄντως φιλόσοφον εἶναι, ἀνακεφαλαιούμενος τὰ διὰ πλειόνων προδιαλεχθέντα καὶ προδιαβεβαιωθέντα ἐπιφέρει· Ἅπαν διάγραμμα ἀριθμοῦ τε σύστημα καὶ ἁρμονίας σύστασιν ἅπασαν τῆς τε τῶν ἄστρων φορᾶς τὴν ὁμολογίαν μίαν ἀναφανῆναι δεῖ τῷ κατὰ τρόπον μανθάνοντι, φανήσεται δ', ἂν, ὃ λέγομεν, ὀρθῶς τις εἰς ἓν βλέπων πάντα μαν-

θάνῃ· δεσμὸς γὰρ ἁπάντων τούτων εἷς ἀναφανήσεται· εἰ δέ τις ἄλλως μεταχειρίζεται φιλοσοφίαν, τύχην δεῖ καλεῖν συνεργόν· οὐ γὰρ ἄνευ τούτων ἡ ὁδός ποτε, ἀλλ' οὗτος ὁ τρόπος, ταῦτα τὰ μαθήματα, εἴτε χαλεπὰ εἴτε ῥάδια, ταύτῃ ἐτέον, ἀμελεῖν δὲ οὐ δεῖ. Τὸν δὲ ταῦτα πάντα οὕτω λαβόντα, ὡς ἐγὼ λέγω, τοῦτον ἐγὼ καλῶ σοφώτατον καὶ διϊσχυρίζομαι παίζων ἅμα καὶ σπουδάζων. Δῆλον γάρ, ὅτι κλίμαξί τισι καὶ γεφύραις ἔοικε ταῦτα τὰ μαθήματα, διαβιβάζοντα τὴν διάνοιαν ἡμῶν ἀπὸ τῶν αἰσθητῶν καὶ δοξαστῶν ἐπὶ τὰ νοητὰ καὶ ἐπιστημονικά, καὶ ἀπὸ τῶν συντρόφων ἡμῖν καὶ ἔκ βρεφῶν ἔτι συνήθων ὑλικῶν καὶ σωματικῶν ἐπὶ τὰ ἀσυνήθη μὲν καὶ ἑτερόφυλα πρὸς τὰς αἰσθήσεις, τῇ δὲ ἀϋλίᾳ καὶ ἀϊδιότητι συγγενέστερα ταῖς ἡμετέραις ψυχαῖς, καὶ πολὺ πρότερον τῷ ἐν αὐταῖς νοητικῷ. Καθὰ καὶ ὁ παρὰ Πλάτωνι ἐν τῇ πολιτείᾳ Σωκράτης, τοῦ προσδιαλεγομένου αἰτίας τινὰς εὐλόγους ἐπιφέρειν δοκοῦντος τοῖς μαθήμασιν, ὡς εὔχρηστά εἰσι πρὸς τὸν ἀνθρώπινον βίον, ἡ μὲν ἀριθμητικὴ πρὸς λογισμοὺς καὶ διανομὰς καὶ συνεισφορὰς καὶ ἀμείψεις καὶ κοινωνίας, ἡ δὲ γεωμετρία πρὸς στρατοπεδεύσεις, πόλεών τε καὶ ἱερῶν συγκτίσεις καὶ γεωμορίας, ἡ δὲ μουσικὴ πρὸς ἑορτὰς καὶ θυμηδίας καὶ θεῶν θρησκείας, σφαιρικὴ δὲ καὶ ἀστρονομία πρὸς γεωργίαν τε καὶ ναυτιλίαν καὶ τὰς ἄλλας, καταρχὰς τῶν πράξεων εὐκαιρίας καὶ ἐπιτηδειότητας προδηλούσας, ἐπιπλήττων φησίν· ὡς ἡδὺς εἶ, 7
ὅτι ἔοικας δεδιέναι, μὴ ἄρα ἄχρηστα ταῦτα τὰ μαθήματα προστάττοιμι· τὸ δέ ἐστι παγχάλεπον, μᾶλλον δὲ ἀδύνατον· ὅμμα γὰρ τῆς ψυχῆς, ὑπὸ τῶν ἄλλων ἐπιτηδευμάτων ἀποτυφλούμενον καὶ κατορυττόμενον, διὰ τούτων μόνων ἀνα-

ζωπυρεῖται καὶ ἀνεγείρεται, πρεῖττον ὂν σωθῆναι μυρίων σωματικῶν ὀμμάτων· μόνῳ γὰρ αὐτῷ ἡ περὶ τοῦ παντὸς ἀλήθεια ὁρᾶται.

δ'. Τίνα οὖν ἀναγκαῖον πρωτίστην τῶν τεσσάρων τούτων μεθόδων ἐκμανθάνειν; ἢ δῆλον, ὅτι τὴν φύσει πασῶν προϋπάρχουσαν καὶ κυριωτέραν, ἀρχῆς τε καὶ ῥίζης καὶ οἱανεὶ μητρὸς πρὸς τὰς ἄλλας λόγον ἐπέχουσαν; Ἔστι δὲ αὕτη ἡ ἀριθμητική, οὐ μόνον, ὅτι ἔφαμεν αὐτὴν ἐν τῇ τοῦ τεχνίτου θεοῦ διανοίᾳ προϋποστῆναι τῶν ἄλλων ὡσανεὶ λόγον τινὰ κοσμικὸν ἢ παραδειγματικόν, πρὸς ὃν ἀπειρεσιδόμενος ὁ τῶν ὅλων δημιουργός, ὡς πρὸς προκέντημά τε καὶ παράδειγμα ἀρχέτυπον, τὰ ἐκ τῆς ὕλης ἀποτελέσματα κοσμεῖ καὶ τοῦ οἰκείου τέλους τυγχάνειν ποιεῖ, ἀλλὰ καί, ὅτι φύσει προγενέστερα ὑπάρχει τοσούτῳ, ὅσῳ συναναιρεῖ μὲν ἑαυτῇ τὰ λοιπά, οὐ συναναιρεῖται δὲ ἐκείνοις· οἷον τὸ ζῷον πρότερον τοῦ ἀνθρώπου φύσει ἐστίν· ἀναιρεθέντος γὰρ τοῦ ζώου, ἀνῄρηται καὶ ὁ ἄνθρωπος, οὐκέτι δὲ ἀναιρεθέντος τοῦ ἀνθρώπου συνανῄρηται καὶ τὸ ζῷον· καὶ πάλιν ὁ ἄνθρωπος προγενέστερος τοῦ γραμματικοῦ· μὴ γὰρ ὄντος ἀνθρώπου, οὐδὲ γραμματικός ἐστι, μὴ ὄντος δὲ γραμματικοῦ, δυνατὸν ἄνθρωπον εἶναι· ὥστε ἐπεὶ οὐ συναναιρεῖται, διὰ τοῦτο καὶ πρεσβύτερος. Καὶ ἐκ τοῦ ἐναντίου δὲ νεώτερον λέγεται καὶ ὑστερογενέστερον, ὃ συνεπιφέρει μὲν ἑαυτῷ τὸ λοιπόν, οὐ συνεπιφέρεται δὲ ἐκείνῳ, οἷον ὁ μουσικός· συνεπιφέρει γὰρ ἑαυτῷ πάντως τὸν ἄνθρωπον· καὶ πάλιν ἵππος· συνεπιφέρεται γὰρ πάντως τὸ ζῷον τούτῳ, οὐκ ἔμπαλιν δέ· ζώου γὰρ ὄντος, οὐκ ἀναγκαῖον εἶναι ἵππον, οὐδέ, ἀνθρώπου ὑπάρχοντος, συνεπιφέρεσθαι μουσικόν. Οὕτω καὶ ἐπὶ τῶν προλεχθεισῶν ἐπιστημῶν· οὔσης γὰρ γεωμετρίας, ἀνάγκη καὶ ἀριθμητικὴν συνεπιφέρεσθαι· ἅμα γὰρ ταύτῃ τρίγωνον ἢ τετράγωνον ἢ ὀκτάεδρον ἢ εἰκοσά-

ἕδρον, ἢ διπλάσιόν ἢ τριπλάσιον ἢ τετραπλάσιον ἢ
ὁνταπλάσιον ἢ ἡμιόλιον ἢ ἄλλο τι τοιοῦτον, ὃ γεω- 8
μετρία λέγει, καὶ οὐκ ἄνευ τῶν ἑκάστῳ συνεπιφερο-
μένων ἀριθμῶν ἐπινοεῖσθαι τὰ τοιαῦτα δύναται·
πῶς γὰρ οἷόν τε τριπλάσιόν τι εἶναι ἢ λέγεσθαι, μὴ
προϋποκειμένου τοῦ τρία ἀριθμοῦ, ἢ ὁνταπλάσιον,
μὴ ὑποκειμένου τοῦ ὀκτώ; ἔμπαλιν δὲ εἴη ἂν τὰ
τρία καὶ τὰ δ' καὶ τὰ ἑξῆς, μὴ ὄντων τῶν παρωνύ-
μων σχημάτων. Συναναιρεῖ ἄρα ἡ ἀριθμητικὴ
τὴν γεωμετρίαν, ἀλλ' οὐ συναναιρεῖται ὑπ' αὐτῆς,
καὶ συνεπιφέρεται μὲν ἐκείνῃ, οὐ συνεπιφέρει δὲ
αὐτήν.

ε. Πάλιν δὲ ἐπὶ τῆς μουσικῆς· οὐ γὰρ μόνον
ὅτι προγενέστερον τὸ καθ' αὑτὸ τοῦ πρὸς ἄλλο, κα-
θάπερ τὸ μέγα τοῦ μείζονος καὶ τὸ πλούσιον τοῦ
πλουσιωτέρου καὶ ὁ ἄνθρωπος τοῦ πατρός, ἀλλ' ὅτι
καὶ αἱ μουσικαὶ συμφωνίαι διὰ τεσσάρων, διὰ πέντε
καὶ διὰ πασῶν κατὰ ἀριθμόν εἰσιν ὠνομασμέναι·
ὁμοίως δὲ καὶ τοὺς ἁρμονικοὺς λόγους ἀριθμητικοὺς
πάντως ἔχουσιν, ἡ μὲν διὰ τεσσάρων ἐπίτριτον, ἡ
δὲ διὰ πέντε ἡμιόλιον, ἡ δὲ διὰ πασῶν διπλάσιον,
τριπλάσιον δὲ ἡ διὰ πασῶν ἅμα καὶ διὰ πέντε, τε-
τραπλάσιον δὲ ἡ τελειοτάτη ἡ δὶς διὰ πασῶν. Ἐκ-
δηλότερόν γε μὴν ἡ σφαιρικὴ δι' ἀριθμητικῆς τυγ-
χάνει πάντων τῶν προσηκόντων αὐτῇ σκεμμάτων,
οὐ μόνον, ὅτι γεωμετρίας μεταγενεστέρα ἐστίν (ἡ
γὰρ κίνησις φύσει μετὰ τὴν μονήν), οὐδ', ὅτι ἁρμο-
νίας ἐκ παντὸς ἐμμελοῦς τὰ τῶν ἀστέρων κινήματα
τέτευχεν, ἀλλ' ὅτι καὶ ἀριθμῶν περιόδοις καὶ ποσό-
τησιν ἀνατολαί τε καὶ δύσεις καὶ προποδισμοὶ καὶ
ἀναποδισμοὶ καὶ ἐπιπροσθήσεις καὶ φάσεις παντοῖαι
διαρθροῦνται. Ὡς οὖν προγενεστέρας φύσει καὶ
τιμιωτέρας καὶ πρεσβυτέρας, ὡσανεὶ μητρὸς καὶ τι-
θήνης, καλῶς προτέραν τὴν τεχνολογίαν ὑπεστησά-
μεθα· τὴν δὲ ἀρχὴν τῆς τεχνολογίας τοῦ σαφοῦς
χάριν ἐντεῦθεν ποιησόμεθα.

στ'. *Πάντα τὰ κατὰ τεχνικὴν διέξοδον ὑπὸ τῆς φύσεως ἐν τῷ κόσμῳ διατεταγμένα, κατὰ μέρος τε καὶ ὅλα, φαίνεται κατὰ ἀριθμὸν ὑπὸ τῆς προνοίας καὶ τοῦ τὰ ὅλα δημιουργήσαντος νοῦ διακεκρίσθαι τε καὶ διακεκοσμῆσθαι, βεβαιωμένου τοῦ παραδείγματος ἐκ τοῦ ἀρχῆς λόγον καὶ οἷον προχαράγματος ἐπέχειν τὸν ἀριθμόν, προϋποστάντα ἐν τῇ τοῦ κο-*
9 *σμοποιοῦ θεοῦ διανοίᾳ, νοητὸν αὐτὸν ὄντα μόνον καὶ παντάπασιν ἄϋλον, οὐσίαν μέντοι τὴν ὄντως καὶ ἀϊδίαν, ἵνα πρὸς αὐτὸν ὡς λόγον τεχνικὸν ἀποτελεσθῇ τὰ σύμπαντα ταῦτα, χρόνος, κίνησις, οὐρανός, ἄστρα, ἐξελιγμοί τε παντοῖοι. Ἀναγκαῖον ἄρα, καὶ αὐτὸν τὸν ἐπιστημονικὸν ἤδη ἀριθμὸν ἐπὶ τῶν τοιούτων ὑπάρχοντα καθ' ἑαυτὸν ἡρμόσθαι, καὶ οὐχ ὑπ' ἄλλου, ἀλλ' ὑφ' ἑαυτοῦ. Πᾶν δὲ τὸ ἡρμοσμένον ἐξ ἐναντίων πάντως ἥρμοσται, καὶ ὄντων γε· οὔτε γὰρ τὰ μὴ ὄντα ἁρμοσθῆναι οἷά τε, οὔτε τὰ ὄντα μέν, ὅμοια δὲ ἀλλήλοις, οὔτε τὰ διαφέροντα μέν, ἄλογα δὲ πρὸς ἄλληλα· ὑπολείπεται δή, τά, ἐξ ὧν ἁρμόζεται, καὶ ὄντα εἶναι καὶ διάφορα καὶ λόγον πρὸς ἄλληλα ἔχοντα. Ἐκ τοιούτων ἄρα καὶ ὁ ἐπιστημονικὸς ἀριθμός· ἔστι γὰρ τὰ ἐν αὐτῷ πρώτιστα εἴδη δύο, οὐσίαν τε ἔχοντα τὴν τῆς ποσότητος καὶ διαφέροντα ἀλλήλων καὶ οὐχ ἑτερογενῆ, περιττὸν καὶ ἄρτιον, καὶ ἑναλλὰξ ὑπὸ θαυμαστῆς καὶ θείας φύσεως ἡρμοσμένα ἀλλήλοις ἀχωρίστως καὶ ἐνοειδῶς, ὡς αὐτίκα εἰσόμεθα.*

ζ'. *Ἀριθμός ἐστι πλῆθος ὡρισμένον ἢ μονάδων σύστημα ἢ ποσότητος χῦμα ἐκ μονάδων συγκείμενον, τοῦ δὲ ἀριθμοῦ πρώτη τομὴ τὸ μὲν ἄρτιον, τὸ δὲ περιττόν. Ἔστι δὲ ἄρτιον μέν, ὃ οἷόν τε εἰς δύο ἴσα διαιρεθῆναι, μονάδος μέσης μὴ παρεμπιπτούσης, περιττὸν δὲ τὸ μὴ δυνάμενον εἰς δύο ἴσα μερισθῆναι διὰ τὴν προειρημένην τῆς μονάδος μεσιτείαν. Οὕτος μὲν οὖν ὁ ὅρος ἐκ τῆς Δημώδους ὑπολήψεως· κατὰ δὲ τὸ Πυθαγορικὸν ἄρτιος ἀρι-*

ἀριθμός ἐστιν ὁ τὴν εἰς τὰ μέγιστα καὶ τὰ ἐλάχιστα κατὰ ταυτὸ τομὴν ἐπιδεχόμενος, μέγιστα μὲν πληθικότητι, ἐλάχιστα δὲ ποσότητι, κατὰ τὴν φυσικὴν τῶν δύο τούτων γενῶν ἀντιπεπόνθησιν, περισσὸς δὲ ὁ μὴ δυνάμενος τοῦτο παθεῖν, ἀλλ' εἰς ἄνισα δύο τεμνόμενος. Ἑτέρῳ δὲ τρόπῳ κατὰ τὸ παλαιὸν ἄρτιός ἐστιν ὁ καὶ εἰς δύο ἴσα τμηθῆναι δυνάμενος καὶ εἰς ἄνισα δύο, πλὴν τῆς ἐν αὐτῷ ἀρχοειδοῦς δυάδος, θάτερον διχοτόμημα μόνον ἐπιδεχομένης τὸ εἰς ἴσα· ἐν ᾧτινι οὖν τομῇ παρεμφαίνων τὸ ἕτερον εἶδος μόνον τοῦ ἀριθμοῦ, ὅπως ἂν διχασθῇ, ἀμέτοχος τοῦ λοιποῦ· περισσὸς δέ ἐστιν ἀριθμὸς ὁ καθ' ἡντιναοῦν τομὴν εἰς ἄνισα πάντως γινομένην ἀμφότερα ἅμα ἐμφαίνων τὰ τοῦ ἀριθμοῦ δύο εἴδη, καὶ οὐδέποτε ἄκρατα ἀλλήλων, ἀλλὰ πάντοτε σὺν ἀλλήλοις. Ἐν δὲ τῷ δι' ἀλλήλων ὅρῳ περιττός ἐστιν ὁ μονάδι ἐφ' ἑκάτερον διαφέρων ἀρτίου ἀριθμοῦ, τουτέστιν, ἐπὶ τὸ μεῖζον καὶ ἔλαττον, ἄρτιος δὲ ὁ μονάδι διαφέρων ἐφ' ἑκάτερον περισσοῦ ἀριθμοῦ, τουτέστι, μονάδι μείζων καὶ μονάδι ἐλάσσων.

ἡ. Πᾶς ἀριθμὸς τῶν παρ' ἑκάτερα κειμένων συντεθέντων ἥμισύς ἐστι, καὶ τῶν ὑπὲρ ἕνα ἑκατέρωθεν κειμένων ὁμοίως ἥμισύς ἐστι, καὶ ἔτι τῶν ὑπὲρ ἐκείνους, καὶ τοῦτο μέχρις οὗ δυνατόν. Μοναχὰ δὲ ἡ μονάς, διὰ τὸ μὴ ἔχειν ἑκατέρωθεν αὐτὴν δύο ἀριθμούς, ἑνὸς μόνου τοῦ παρακειμένου ἥμισύς ἐστιν· ἀρχὴ ἄρα πάντων φυσικὴ ἡ μονάς. Καθ' ὑποδιαίρεσιν δὲ τοῦ ἀρτίου τὸ μέν ἐστιν ἀρτιάκις ἄρτιον, τὸ δὲ περισσάρτιον, τὸ δὲ ἀρτιοπέριττον· ἐναντία μὲν ἀλλήλοις, ὥσπερ ἀκρότητες, τὸ ἀρτιάκις ἄρτιον καὶ τὸ ἀρτιοπέρισσον, κοινὸν δὲ ἀμφοτέρων, ὥσπερ μεσότης, τὸ περισσάρτιον. Ἀρτιάκις οὖν ἄρτιος ἀριθμός ἐστιν ὁ αὐτός τε εἰς δύο ἴσα δυνάμενος διχασθῆναι κατὰ τὴν τοῦ γένους φύσιν, καὶ τῶν ἑαυτοῦ μερῶν ὁποτερονοῦν τοιοῦτον ἔχων δίχα διαιρετόν, καὶ πάλιν κατὰ

τὰ αὐτὰ τῶν ἐκείνου μερῶν ὁποτερονοῦν εἰς δύο ἴσα διαιρετόν, μέχρις ἂν εἰς τὴν φύσει ἄτομον μονάδα καταντήσῃ ἡ τῶν ἀεὶ ὑπομερισμῶν διαίρεσις. Οἷον ὑποδείγματος χάριν ἔστω ὁ ξδ· τούτου γὰρ ἥμισυς ὁ λβ, καὶ τούτου ὁ ια, καὶ τούτου ἥμισυς ὁ ἡ, καὶ τούτου ὁ δ, καὶ τούτου ὁ β, ἔπειτα τὸ τελευταῖον μονάς, τούτου ἡμίσεια, ἥτις φύσει ἄτομος οὖσα οὐκέτι ἐπιδέχεται τὸ ἥμισυ. Παρακολουθεῖ δὲ αὐτῷ καί, ὅ τι ἂν ἐν αὐτῷ μέρος ληφθῇ, πάντως ἀρτιάκις ἀρτιώνυμον εἶναι τῇ προηγορίᾳ, τὸ δὲ αὐτὸ καὶ τῇ ποσότητι τῶν ἐν αὐτῷ μονάδων ἀρτιάκις ἀρτιοδύναμον, μηδέποτε δὲ ἑτέρῳ γένει κοινωνεῖν ἑκάτερον τούτων. Μήτι δὴ καὶ παρὰ τοῦτο ἀρτιάκις ἄρτιος ὠνόμασται, ὅτι αὐτὸς ἄρτιος ὢν καὶ τὰ μέρη καὶ τὰ τῶν μερῶν μέρη, μέχρι μονάδος ἄρτια ἀεὶ ἔχει ὀνόματί τε καὶ δυνάμει· καὶ ἑτέρως, ὅτι πᾶν μέρος, ὃ ἂν ἔχῃ, ἀρτιάκις ἄρτιον κατὰ τὸ ὄνομά
11 ἐστι, τὸ δὲ αὐτὸ καὶ ἀρτιάκις ἄρτιόν ἐστι κατὰ τὴν δύναμιν. Γένεσις δὲ τοῦ ἀρτιάκις ἀρτίου, ὥστε μηδένα διαφυγεῖν, ἀλλ' ἐξ ἑνὸς πάντας ὑποπίπτειν αὐτῇ. Καὶ γένοιτο ἂν οὕτως· ἀπὸ μονάδος ὡς ἀπὸ ῥίζης κατὰ τὸν διπλάσιον λόγον προχωροῦντι μέχρις ἀπείρου, ὅσοι ἂν γένωνται, οὗτοι πάντες ἀρτιάκις ἄρτιοί εἰσιν, ἄλλους δὲ παρὰ τούτους ἀμήχανόν ἐστιν εὑρεῖν, οἷον πρὸς ὑπόδειγμα ά, β, δ, ἡ, ιστ, λβ, ξδ, ρκή, σνστ, φιβ, καὶ ἐφ' ὁποσονοῦν. Ἕκαστος δὴ τῶν προκειμένων γέγονε μὲν κατὰ τὸν ἀπὸ μονάδος διπλασίονα ἀεὶ λόγον, ὑπάρχει δὲ ἀρτιάκις ἄρτιος πάντως, καὶ πᾶν δὲ μέρος, ὃ ἂν εὑρεθῇ ἔχων, πάντως καὶ παρώνυμόν ἐστιν ἑνὸς τῶν ἐντὸς αὐτοῦ, καὶ μονάδων σύστημα ἐν τούτῳ ὑπάρχει τοσοῦτον, ὁπόσος τῶν ἐντὸς αὐτοῦ εἷς ἐστί, κατὰ ἀντιπερίστασιν μέντοι καὶ ἀμοιβήν, ἐὰν μὲν ὦσιν ἄρτιαι αἱ ἐκθέσεις τῶν ἀπὸ μονάδος διπλασιασμῶν· μία μὲν οὐχ οἵα τε μεσότης εὑρεθῆναι, πάντως δὲ δύο, ἀφ' ὧν ἀρχομένη ἡ ἀντιπερίστασις καὶ ἀμοιβὴ μερῶν πρὸς

δυνάμεις καὶ δυνάμεων πρὸς μέρη προχωρήσει τάξει, πρῶτον μὲν ἐπὶ τοὺς παρ' ἑκάτερα δύο, εἶτα ἐπὶ τοὺς ὑπὲρ ἐκείνους ὑπερκειμένους ἑκατέρωθεν, μέχρις ἂν ἐπὶ τοὺς ἀκροτάτους ἀφίκηται, ὥστε τὸ ὅλον ἀντιπαρωνυμεῖσθαι τῇ μονάδι καὶ τὴν μονάδα τῷ ὅλῳ· οἷον λόγου χάριν, ἐὰν τὸν ρκή θῶμεν τὸν μέγιστον, ἀρτιοταγεῖς ἔσονται αὐτοῦ αἱ ἐκθέσεις τῶν ὅρων· ὀκτὼ γὰρ αἱ μέχρις αὐτοῦ πᾶσαι· καὶ μίαν μεσότητα οὐχ ἕξουσιν· ἀδύνατον γὰρ ἐν ἀρτίῳ· ἀλλ' ἀναγκαίως δύο, τήν τε ὀκτὼ καὶ τὴν ιστ, αἵτινες ἀνταποκρινοῦνται ἀλλήλαις παρὰ μέρος· τοῦ γὰρ ὅλου τοῦ ρκή ὄγδοον μέν ἐστι τὰ ιστ, ἔμπαλιν δὲ ἑκκαιδέκατον τὰ ή· καὶ προϊόντι ἐφ' ἑκάτερα τέταρτον μὲν τὰ λβ, τριακοστόδυον δὲ τὰ δ, καὶ πάλιν ἥμισυ μὲν τὰ ξδ, ἑξηκοστοτέταρτον δὲ τὰ δύο, καὶ τελευταῖον κατὰ τὰς ἀκρότητας ἑκατοστοεικόγδοον μὲν ἡ μονάς, ὅλον δὲ κατὰ τὴν μονάδα ἔμπαλιν τὰ ρκή. Ἐὰν δὲ ἐν περισσοῖς ὅροις ἡ ἔκθεσις γένηται, οἷον ἐν ζ, προχειρισαμένων ἡμῶν τὰ ξδ, ἡ μεσότης ἀναγκαίως μία ἔσται κατὰ τὴν τῶν περισσῶν φύσιν, καὶ αὐτὴ μὲν ἑαυτῇ ἀνταποκρινεῖται διὰ τὸ σύζυγον μὴ ἔχειν, οἱ δὲ ἑκατέρωθεν αὐτῆς ἀεὶ ἀλλήλοις, μέ- 12
χρις ἂν εἰς τὰ ἄκρα ἡ ἀνταπόκρισις τελευτήσῃ· οἷον ἑξηκοστοτέταρτον μέν ἡ μονὰς ἔσται, ὅλον δὲ κατὰ τὴν μονάδα τὰ ξδ, καὶ ἥμισυ μὲν τὰ λβ, τριακοστόδυον δὲ τὰ δύο, καὶ τέταρτον μὲν τὰ ιστ, ἑκκαιδέκατον δὲ τὰ δ, ὄγδοον δὲ ἄνευ ἀντιδιαστολῆς αὐτὰ τὰ ή. Συμβέβηκε δὲ πάσαις ταῖς ἐκθέσεσι συντεθειμέναις σωρηδὸν ἴσαις εἶναι τῷ μετ' αὐτὰς παρὰ μονάδα, ὥστε ἀναγκαίως ἡ ὁποσωνοῦν συγκεφαλαίωσις περισσὸς ἀριθμὸς ἔσται· ἀεὶ γὰρ ὁ παρὰ μονάδα ἴσος τῷ ἀρτίῳ περισσός ἐστι. Χρησιμεύσει δ' ἡμῖν αὕτη ἡ ἐπίγνωσις, ὅσον οὐδέπω, πρὸς τὴν τῶν τελείων ἀριθμῶν σύστασιν· ὑποδείγματος δὲ χάριν τῷ ανστ οἱ ἐντὸς αὐτοῦ πάντες μέχρι μονάδος ἴσοι εἰσὶ συγκεφαλαιωθέντες παρὰ μίαν μονάδα,

τῷ δὲ ρκή τῷ εὐθὺς ὑπ' αὐτὸν οἱ ἐντὸς αὐτοῦ πάντες ὁμοίως εἰσὶν ἴσοι παρὰ μίαν μονάδα, καὶ τοῖς συνεχέσιν ἀεὶ κατὰ τὰ αὐτὰ οἱ ἐντός, καθὰ καὶ αὐτὴ ἡ μονὰς παρὰ μονάδα ἴση τῷ μετ' αὐτήν, ὅ ἐστι, τῷ δύο, καὶ οἱ συναμφότεροι παρὰ μονάδα τῷ μετ' αὐτούς, καὶ οἱ σύντρεις παρὰ μονάδα τῷ ἑξῆς, καὶ τοῦτο, ἐπ' ἄπειρον προχωροῦν, ἄπταιστον εὑρήσεις. Κἀκεῖνο δὲ μεμνῆσθαι ἀναγκαιότατον· ἐὰν μὲν γὰρ ἄρτιαι ὦσιν αἱ τοῦ προκειχειρισμένου ἀρτιάκις ἀρτίου ἐνθέσεις, πάντως τὸ ὑπὸ τῶν ἄκρων πρὸς ἄλληλα πολυπλασιαζομένων συντελούμενον ἴσον ἔσται τῷ ὑπὸ τῶν μέσων πρὸς ἄλληλα, ἐὰν δὲ περισσαί, τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ὑπὸ τοῦ μέσου πρὸς ἑαυτό· ἅπαξ γὰρ τὸ ρκή ἐν ἀρτίαις ἐνθέσεσιν ἴσον ἐστὶ τῷ ὀκτάκις ιστ', καὶ ἔτι τῷ δὶς ξδ', καὶ πάλιν τῷ τετράκις λβ', καὶ τοῦτο δι' ὅλου· ἐν δὲ περισσαῖς ἐνθέσεσιν ἴσον τὸ ἅπαξ ξδ' τῷ δὶς λβ', καὶ τοῦτο τῷ τετράκις ιστ', καὶ τοῦτο πάλιν τῷ ὀκτάκις ή, μόνου τοῦ μέσου πρὸς ἑαυτὸ πολλαπλασιαζομένου.

θ'. Ἀρτιοπέριττος δέ ἐστιν ἀριθμὸς ὁ τῷ γένει καὶ αὐτὸς ἄρτιος ὤν, ἀντιδιαστελλόμενος δὲ εἰδικῶς τῷ προφρασθέντι ἀρτιάκις ἀρτίῳ, ὁ τὴν μὲν εἰς δύο ἴσα διαίρεσιν ἐπιδεχόμενος κατὰ τὸ κοινὸν γένος, τῶν μέντοι μερῶν ἑκάτερον εὐθὺς εἰς δύο ἴσα
13 ἄτμητον ἔχων, οἷον ὁ στ', ὁ ί, ὁ ιδ', ὁ ιή, ὁ κβ', ὁ κστ', οἱ ὅμοιοι· μετὰ γὰρ τὸ δίχασθῆναι ἕκαστον τούτων ἀδίχαστα εὐθὺς τὰ μέρη εὑρίσκεται. Συμβέβηκε δὲ αὐτῷ πᾶν, ὃ ἂν εὑρεθῇ μέρος ἔχων, ἐναντιώνυμον τῇ δυνάμει εἶναι, καὶ πᾶσαν μέρους ποιότητα ἐναντιοδύναμον τῷ ὀνόματι, μηδέποτε δὲ μηδενὶ τρόπῳ ὁμογενῆ τὴν δύναμιν τοῦ μέρους τῷ αὐτοῦ ὀνόματι ὑπάρχειν· οἷον ἐφ' ἑνὸς τοῦ ιή, τὸ μὲν ἥμισυ ἀρτιακῶς ὠνομασμένον ὑπάρχει θ', περισσὸν τῇ δυνάμει, τὸ δὲ τρίτον ἐμπαλὶν περισσῶς ὀνοματοποιημένον στ' ἄρτιον τῇ ὑποστάσει· τὸ δὲ στ' ἐξ ἀντιστρόφου γ', καὶ τὸ θ' β'· καὶ ἐπὶ τῶν

ἑτέρων ὁ αὐτὸς εὑρεθήσεται τρόπος. Μήτι ἄρα καὶ παρὰ τοῦτο τοιαύτης προσηγορίας τέτευχεν, ὅτι ἄρτιος ὢν περισσῶν τῶν ἡμισευμάτων εὐθὺς τετύχηκε. Γεννᾶται δὲ καὶ οὗτος, τῶν ἀπὸ μονάδος δυάδι διαφερόντων, ὅ ἐστι, περισσῶν, εὐτάκτως ἐπτεθέντων, μέχρις οὗ βούλει, δυάδι πολυπλασιασθέντων· οἱ γὰρ ἀποτελούμενοι γένοιντο ἂν τάξει οὗτοι στ', ι', ιδ', ιή, κβ', κστ', λ', καὶ μέχρις ἂν προχωρεῖν ἐθέλῃς· διαφέρουσι δὲ ἀλλήλων τετράδι οἱ μείζονες ἀεὶ τῶν ἐγγὺς ἐλαττόνων· αἴτιον δὲ τούτου, ὅτι οἱ ἐξ ἀρχῆς γνώμονες αὐτῶν, τουτέστιν, οἱ περισσοί, δυάδι ἀλλήλων ὑπερφέροντες, δυάδι ἐμηκύνθησαν, ἵνα οὗτοι γεννῶνται, δυὰς δὲ δυάδα πολυπλασιάσασα τετράδα ποιεῖ. Ἐν μὲν οὖν τῷ φυσικῷ ὕφει τοῦ ἀριθμοῦ εὑρεθήσονται οἱ ἀρτιοπέρισσοι πέμπτοι μὲν ἀπ' ἀλλήλων, τετράδι δὲ ὑπερέχοντες, τρεῖς δὲ ὑπερβαίνοντες, δυάδι δὲ μηνυομένων τῶν περισσῶν γεννώμενοι. Ἐναντιοπαθεῖν δὲ λέγονται τοῖς ἀρτιάκις ἀρτίοις, ὅτι τούτων μὲν τὸ μέγιστον ἄπορον μόνον διαιρετόν, ἐκείνων δὲ τὸ ἐλάχιστον μόνον ἦν ἀδιαίρετον· καὶ δὴ καί, ὅτι ἐπ' ἐκείνων μὲν ἡ ἀντιπερίστασις τῶν μερῶν ἀπ' ἀκροτήτων εἰς μεσότητα ἢ μεσότητας ἀπετέλει τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ὑπὸ τῶν μέσων ἢ τῷ ὑπὸ τοῦ μέσου· τούτων δὲ κατὰ τὴν αὐτὴν ἀμοιβὴν καὶ ἀντεξέτασιν ὑποδιπλάσιον τὸ μέσον τῶν δύο ἄκρων συντεθέντων, ἢ εἴ δύο εἰσὶ τὰ μέσα, καὶ αὐτὰ ἴσα ἀμφότερα τοῖς δυσὶν ἄκροις.

ι'. Περισσάρτιος δέ ἐστιν ἀριθμὸς ὁ τὸ τρίτον εἶδος τοῦ ἀρτίου ἐμφαίνων, κοινὸς ἀμφοτέρων τῶν προειρημένων, ὡσανεὶ δύο ἀκροτήτων μία τις ὢν 14
αὐτὸς μεσότης· ὅμοιος γὰρ κατὰ μέν τι τῷ ἀρτιάκις ἀρτίῳ ὑπάρχει, κατὰ δέ τι τῷ ἀρτιοπερίσσῳ, καὶ ᾧ μὲν τοῦ ἑτέρου ἀπήλλακται, τούτῳ ποινωνεῖ τῷ λοιπῷ, ᾧ δὲ κοινόν τι ἔχει πρὸς τὸ ἕτερον, τούτῳ διαφέρει τοῦ λοιποῦ. Ἔστω δή, ὅταν ἀριθμὸς ὁρ-

τιος, εἰς δύο ἴσα διαιρεθῆναι δυνάμενος, διαιρούμενα ὁμοίως τὰ ἑαυτοῦ μέρη ἔχῃ, ἔστι δ' ὅτε καὶ τῶν μερῶν τὰ μέρη, μέχρι μέντοι μονάδος μὴ δυνάμενος τὴν τῶν μερῶν λύσιν ἀγαγεῖν· οἷός ἐστιν ὁ ιβ', ὁ κδ', ὁ κη', ὁ μή· ἥμισυ μὲν γὰρ τούτων ἕκαστος ἴδιον ἔχει, καὶ πάντως ἡμίσους ἥμισυ· ἔστε δ' ὅτε ἐν αὐτοῖς τις εὑρίσκεται καὶ ἐπὶ πλέον τὸν διχασμὸν ἐπιδεχόμενος εἰς τὰ μέρη, οὐδεὶς μέντοι τὸ παράπαν μέχρι τῆς φύσει ἀτόμου μονάδος τὰ μέρη μεριστὰ εἰς ἡμίση ἕξει. Τῷ μὲν οὖν πλείονας μιᾶς τὰς τομὰς ἐπιδέχεσθαι ὁμοιοῦται μὲν τῷ ἀρτιάκις ἀρτίῳ, ἀφίσταται δὲ τοῦ ἀρτιοπερίσσου, τῷ δὲ μὴ ἀπολήγειν ποτὲ εἰς μονάδα αὐτοῦ τὰς τομὰς ὁμοιοῦται μὲν τῷ ἀρτιοπερίσσῳ, ἀφίσταται δὲ τοῦ ἀρτιάκις ἀρτίου. Συμβέβηκε δ' αὐτῷ μόνῳ, ὑφ' ἓν ἔχειν τὰ ἑκατέρῳ ἐκείνων ἰδίως συμβεβηκότα, καὶ πάλιν τὰ μηδετέρῳ· καὶ γὰρ ἐκείνων ὁ μὲν τὸ μέγιστον μόνον μέρος εἶχε τμητόν, ὁ δὲ τὸ μικρότατον μόνον ἄτμητον, τούτῳ δὲ οὐδέτερον τούτων ὑπάρχει· πλείονα μὲν γὰρ τοῦ ἑνὸς τμήματα ἐν τῷ μείζονι μέρει ἔχων ὑπάρχει, πλείονα δὲ τοῦ ἑνὸς ἄτμητα ἐν τῷ ἐλάττονι. Καὶ πάλιν ἐστὶν ἐν αὐτῷ τινὰ μὲν μέρη μὴ ἐναντιωνυμοῦντα ταῖς δυνάμεσι, μηδ' ἑτερογενοῦντα πρὸς αὐτὰς κατ' εἰκόνα τοῦ ἀρτιάκις ἀρτίου, ἔνεστι δὲ πάντως καὶ ἕτερα ἐναντιωνυμούμενα ἑτερογενῶς ὑπὸ τῶν δυνάμεων κατ' εἰκόνα τοῦ ἀρτιοπερίσσου· οἷον ἐν τῷ κδ' οὐκ ἐναντιωνυμεῖ μὲν μέρη δυνάμεσι, τέταρτον γὰρ στ', ἥμισυ ιβ', ἕκτον δ', δωδέκατον δύο, ἐναντιοπαθεῖ δὲ τρίτον ή, ὄγδοον γ', εἰκοστοτέταρτον ά· καὶ ἐπὶ τῶν λοιπῶν παραπλησίως. Γεννᾶται δὲ οὗτος ἐφόδῳ τινὶ ποικιλωτέρᾳ, σημαίνων τρόπον τινὰ καὶ ἐν τῇ γενέσει αὐτοῦ, ὅτι μίγμα ἀμφοτέρων ἐστίν· ἐπειδὴ γὰρ ὁ μὲν ἀρτιάκις ἄρτιος ἐξ ἀρτίων ὑφίστατο τῶν ἀπὸ μονάδος διπλασίων ἐς ἀεί, ὁ δὲ ἀρτιοπέρισσος ἀπὸ περισσῶν τῶν ἀπὸ τριάδος προϊόντων ἐς ἀεί, ἀναγ-

δαῖον τοῦτον ἐξ ἀμφοτέρων τῶν γενῶν συνυφαίνε- 15
σθαι, ὡς κοινὸν ἀμφοτέρων. Ἐκθώμεθα δὴ τοὺς
μὲν ἀπὸ τριάδος περιττοὺς ἰδίᾳ εὐτάκτως ἐν ἑνὶ
στίχῳ, οἷον γ', ε', ζ', θ', ια', ιγ', ιε', ιζ', ιθ', καὶ
ἐφεξῆς· τοὺς δὲ ἀπὸ τετράδος ἀρτιάκις ἀρτίους πά-
λιν ἐφεξῆς ἐν ἑτέρῳ στίχῳ κατὰ τὴν τάξιν τὴν αὐτῶν,
δ', η', ισ', λβ', ξδ', ρκη', σνσ', φιβ', καὶ ἐφεξῆς,
μέχρις οὗ βούλει. Ἀφ' ὁποτέρου δὴ στίχου (ἀδι-
άφορον γάρ) τῷ πρώτῳ κειμένῳ ἀριθμῷ πολυπλα-
σίαζε ἐξ ἀρχῆς πάντας ἑξῆς τοὺς ἐν τῷ λοιπῷ στίχῳ,
καὶ τοὺς ἀποτελουμένους σημειοῦ, εἶτα πάλιν τοῦ
αὐτοῦ στίχου τῷ δευτέρῳ ἀριθμῷ πολυπλάσίαζε
τοὺς αὐτοὺς ἄνωθεν, μέχρις οὗ ἔχεις, καὶ τοὺς γι-
νομένους ἀπογράφου· εἶτα τῷ τρίτῳ πάλιν ἀριθμῷ
τοὺς αὐτοὺς ἄνωθεν, καὶ μέχρις ἂν προχωρῇς, οὐ-
δένες ἄλλοι σοι ἀπογεννήσονται πλὴν οἱ περισσάρ-
τιοι. Χάριν δὲ ὑποδείγματος χρησώμεθα τῷ πρώτῳ
ἀριθμῷ τοῦ στίχου τοῦ τῶν περισσῶν, καὶ πολυ-
πλασιάσωμεν αὐτῷ τοὺς ἐν τῷ ἑτέρῳ στίχῳ τάξει
πάντας, τρὶς δ', τρὶς η', τρὶς ισ', τρὶς λβ', καὶ
τοῦτο μέχρις ἀπείρου· ἔσονται γὰρ ιβ', κδ', μη',
σστ', οὓς δεῖ σημειώσασθαι ἐν ἑνὶ στίχῳ· εἶτα ἀπ'
ἄλλης ἀρχῆς πάλιν τῷ δευτέρῳ ἀριθμῷ τὸ αὐτὸ
ποίει, πεντάκις δ', πεντάκις η', πεντάκις ισ', πεν-
τάκις λβ'· ἀποτελεσθήσονται γὰρ οἵδε κ', μ', π', ρξ'·
εἶτα πάλιν τῷ τρίτῳ ἀριθμῷ τῷ ἑπτὰ τὸ αὐτὸ ποίει,
ἑπτάκις δ', ἑπτάκις η', ἑπτάκις ισ', ἑπτάκις λβ'· οἵ
γὰρ γενόμενοί εἰσιν νη', νσ', ριβ', σκδ', καὶ κατὰ
τὰ αὐτά, μέχρις οὗ βούλει προχωρεῖν, συμφωνήσει
σοι. Ὅταν δὴ τοὺς ἐξ ἑκάστου πολυπλασιασμοὺς ἐν
ἰδίῳ στίχῳ ἐντάξῃς, παραλλήλους ποιούμενος τοὺς
στίχους, φανήσεταί σοι θαυμαστῶς· κατὰ μὲν τὸ
πλάτος συμβαῖνον τὸ τῶν ἀρτιοπερισσῶν ἰδίωμα,
ὅτι ἀεὶ τῶν ἄκρων ὁ μέσος ὑποδιπλάσιος, εἰ εἷς εἴη,
εἰ δὲ δύο μέσοι, ἴσοι κατὰ σύνθεσιν· κατὰ δὲ τὸ
μῆκος τὸ τῶν ἀρτιάκις ἀρτίων· τὸ γὰρ ὑπὸ τῶν

ἄκρων ἴσον τῷ ὑπὸ μέσου, εἰ μία εἴη μεσότης, ἢ τῷ ὑπὸ τῶν μέσων, εἰ δύο εἴησαν· ὥστε τὰ ἀμφοτέρων ἰδιώματα τούτῳ μόνῳ συμβέβηκεν, ὡς ὄντι φυσικῷ μίγματι αὐτῶν.

ιά. Τοῦ δὲ περισσοῦ καὶ πάλιν καθ' ὑποδιαίρεσιν διακεκριμένου πρὸς τὸν ἄρτιον καὶ κατὰ μηδὲν κοινωνοῦντος, εἴπερ ἐκεῖνος μὲν διχῇ εἰς ἴσα διαίρετος, οὗτος δὲ πάντως εἰς δύο ἴσα ἀδιαίρετος,
16 τρία ὁμοίως εἴδη εὑρίσκεται ἀλλήλων διαφέροντα, ὧν τὸ μὲν καλεῖται πρῶτον καὶ ἀσύνθετον, τὸ δὲ ἀντικείμενον τούτῳ δεύτερον καὶ σύνθετον, τὸ δὲ ἐν μεταιχμίῳ ἀμφοῖν τούτοιν θεωρούμενον, ὡς μεσότης ἐν ἀμφότησιν, ὃ καθ' ἑαυτὸ μὲν δεύτερον καὶ σύνθετον, πρὸς ἄλλο δὲ πρῶτον καὶ ἀσύνθετον. Τὸ μὲν οὖν πρώτιστον εἶδος, τὸ πρῶτον καὶ ἀσύνθετον, γίνεται, ὅταν ἀριθμὸς περισσὸς μόριον μηδὲν ἕτερον ἐπιθέχηται, εἰ μὴ τὸ παρώνυμον ἑαυτοῦ, ὃ καὶ ἐξ ἀνάγκης μονὰς ἔσται, οἷον ὁ γ', ὁ ε, ὁ ζ, ὁ ιά, ὁ ιγ', ὁ ιζ, ὁ ιθ, ὁ κγ', ὁ κθ, ὁ λά· τούτων δὲ ἕκαστος οὐδεμιᾷ μηχανῇ εὑρεθήσεται ἔχων ἑτερώνυμον μόριον, ἀλλὰ μόριον τὸ ἑαυτοῦ παρώνυμον, καὶ τοῦτο μονάδα πάντως ἐν ἑκάστῳ· ὁ μὲν γὰρ γ' μόνον τρίτον, καὶ τοῦτο μονάδα, ὁ δὲ πέντε μόνων πέμπτον, καὶ ὁ ἑπτὰ μόνον ἕβδομον, καὶ ὁ ια' μόνον ἑνδέκατον, καὶ ὁ τριάκοντα εἰς ἓν τριακοστὸν μόνον, καὶ ἐν πᾶσι ταῦτα τὰ μέρη μόνα ὑπάρχει. Τέτευχε δὲ τοῦ ὀνόματος τούτου, ὅτι τῷ κοινῷ πάντων ἀριθμῷ καὶ πρωτίστῳ τῇ μονάδι μόνῃ δύναται μετρεῖσθαι, ἑτέρῳ δὲ οὐδενί, ἀλλὰ καὶ ὑπ' οὐδενὸς ἑτέρου ἀριθμοῦ ἑαυτῷ συντεθέντος αὐτὸς γεγένηται, ἀλλὰ μόνης μονάδος, πεντάκις μὲν συντεθείσης ὁ ε, ἑπτάκις δὲ ὁ ζ', καὶ οἱ λοιποὶ κατὰ τὴν αὐτῶν ποσότητα· αὐτῶν μέντοι συντεθέντων ἑαυτοῖς δύναντ' ἄλλοι γενέσθαι, ἀπὸ πηγῆς ὡσανεὶ καὶ ῥίζης αὐτῶν τούτων ἀρχόμενοι· διόπερ πρῶτοι καλοῦνται, ὡσανεὶ ἀρχαὶ ἐκείνων

προϋποκείμενοι· ἀρχὴ δὲ πᾶσα στοιχειώδης καὶ ἀσύνθετος, εἰς ἣν πάντα ἀναλύεται, καὶ ἐξ ἧς πάντα συνίσταται, αὐτὴ δὲ εἰς οὐδὲν καὶ ἐξ οὐδενός.

ιβ'. Δεύτερος δὲ καὶ σύνθετός ἐστιν ἀριθμὸς περισσὸς μὲν διὰ τὸ ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ γένους διαπεπρίσθαι, ἀρχοειδὲς δὲ οὐδὲν ἔχων ἐν ἑαυτῷ· συντεθέντος γὰρ ἑτέρου τινός, τὴν γένεσιν αὐτὸς ἔσχε· διόπερ συμβαίνει αὐτῷ πρὸς τῷ παρωνύμῳ μέρει ἔτι καὶ ἑτερώνυμον ἢ ἑτερώνυμα μέρη κεκτῆσθαι, καὶ τὸ μὲν παρώνυμον, καθὰ καὶ ἐπὶ πάντων, μονάδα εἶναι πάντως, τὸ δὲ ἑτερώνυμον ἢ ἑτερώνυμα οὐδέποτε μονάδα, ἀλλὰ πάντως ἢ ἐκεῖνον ἢ ἐκείνους, ὧν συντεθέντων ἀπετελέσθη, οἷον θ', ιέ, κά, κέ, κζ', λγ', λέ, λθ'· τούτων γὰρ ἕκαστος καὶ ὑπὸ μονάδος μετρεῖται, ὡς οἱ ἕτεροι, καὶ παρώνυ- 17
μον ἔχει μέρος, ὡς ἐκεῖνοι, διὰ τὴν τοῦ κοινοῦ γένους φύσιν, ἐξηλλαγμένως δὲ καὶ ἰδιαίτερον ἔτι καὶ ἑτερωνύμῳ μέρει ἢ μέρεσι χρῆται, ὁ μὲν θ' πρὸς τῷ ἐννάτῳ ἔτι καὶ τρίτῳ, ὁ δὲ ιέ ἅμα καὶ τρίτῳ καὶ πέμπτῳ πρὸς τῷ ιέ, ὁ δὲ κά ἑβδόμῳ καὶ τρίτῳ πρὸς τῷ εἰκοστοπρώτῳ, ὁ δὲ κέ πρὸς τῷ εἰκοστοπέμπτῳ τῷ παρωνύμῳ ἑαυτοῦ ἔτι καὶ ἑτερωνύμῳ χρῆται τῷ πέμπτῳ. Δεύτερος οὖν λέγεται, ὅτι καὶ ἄλλῳ σὺν τῇ μονάδι μέτρῳ δύναται χρῆσθαι, καὶ ὅτι οὐκ ἀρχοειδής, ἀλλ' ἑτέρου πρὸς ἑαυτὸν ἢ πρὸς ἕτερον συντεθέντος αὐτὸς ἐγένετο, ὁ μὲν θ' τοῦ γ', ὁ δὲ ιέ τοῦ ε' καὶ τοῦ γ', καὶ οἱ ἑφεξῆς κατὰ τὸν αὐτὸν λόγον· σύνθετος δὲ ἐκ τῆς αὐτῆς αἰτίας, ὅτι διαλυθείη ἂν εἰς ἐκείνους, ἐξ ὧν συνέστηκεν, εἴπερ καὶ μετρηθείη ὑπ' αὐτῶν· οὐδὲν δὲ διαλυτὸν ἀσύνθετον, ἀλλὰ πάντως σύνθετον.

ιγ'. Ἀντικειμένων δὴ ἀλλήλοις τῶν δύο τούτων εἰδῶν τοῦ περισσοῦ, τρίτον τι ἀναμέσον θεωρεῖται οἱονεὶ ἐξ ἀμφοτέρων εἰδοποιούμενον, τὸ καθ' αὐτὸ μὲν δεύτερον καὶ σύνθετον, πρὸς ἄλλο δὲ πρῶ-

τον καὶ ἀσύνθετον· ὅταν ἀριθμὸς πρὸς τῷ κοινῷ μέτρῳ τῇ μονάδι ἔτι καὶ ἑτέρῳ μετρῆταί τινι μέτρῳ, καὶ διὰ τοῦτο δυνάμενος καὶ ἑτερώνυμον μέρος ἢ μέρη ἐπιδέξασθαι πρὸς τῷ παρωνύμῳ, καὶ πρὸς ἄλλον τινὰ ὁμοίως ἔχοντα ἀντεξεταζόμενος εὑρίσκηται μήτε κοινῷ μέτρῳ μετρηθῆναι δυνάμενος πρὸς ἐκεῖνον, μήτε παρώνυμον μέρος ἔχων τῶν ἁπλῶς ἐν ἐκείνῳ· οἷον ὁ θ' πρὸς τὸν ιε· ἑκάτερος γὰρ καθ' ἑαυτὸν δεύτερός ἐστι καὶ σύνθετος, πρὸς δὲ ἀλλήλους μόνῃ μονάδι κοινῷ μέτρῳ χρῶνται, καὶ οὐδὲν μόριον ὁμωνυμεῖ ἐν ἀμφοτέροις, ἀλλὰ τὸ ἐν τούτῳ τρίτον οὐκ ἔστιν ἐν ἐκείνῳ, οὐδὲ τὸ ἐν ἐκείνῳ πέμπτον ἐν τούτῳ εὑρίσκεται. Ἡ δὲ τούτων γένεσις ὑπὸ Ἐρατοσθένους καλεῖται κόσκινον, ἐπειδὴ ἀναπεφυρμένους τοὺς περισσοὺς λαβόντες καὶ ἀδιακρίτους ἐξ αὐτῶν, τῇ τῆς γενέσεως μεθόδῳ ταύτῃ διαχωρίζομεν, ὡς δι' ὀργάνου τῇ κοσκίνου τινός, καὶ ἰδίᾳ μὲν τοὺς πρώτους καὶ ἀσυνθέτους, ἰδίᾳ δὲ τοὺς δευτέρους καὶ συνθέτους, χωρὶς δὲ τοὺς μικτοὺς εὑρίσκομεν. Ἔστι δὲ ὁ τρόπος τοῦ κοσκίνου τοιοῦτος· ἐκθέμενος τοὺς ἀπὸ τριάδος πάντας ἑφεξῆς περισ-
18 σούς, ὡς δυνατὸν μάλιστα ἐπὶ μήκιστον στίχον, ἀρξάμενος ἀπὸ τοῦ πρώτου ἐπισκοπῶ, τίνας οἷός τέ ἐστι μετρεῖν ἕκαστος, καὶ εὑρίσκω δυνατὸν ὄντα τὸν πρῶτον ἤτοι τὸν γ' τοὺς δύο μέσους παραλείποντας μετρεῖν, μέχρις οὗ ἂν προχωρεῖν ἐθέλωμεν, οὐχ ὡς ἔτυχε δὲ καὶ εἰκῇ μετροῦντα, ἀλλὰ τὸν μὲν πρώτως αὐτῶν κείμενον, τουτέστι, τὸν δύο μέσους ὑπερβαίνοντα κατὰ τὴν τοῦ πρωτίστου ἐν τῷ στίχῳ κειμένου ποσότητα μετρήσει, τουτέστι, κατὰ τὴν ἑαυτοῦ· τρὶς γάρ· τὸν δ' ἀπ' ἐκείνου δύο διαλείποντα κατὰ τὴν τοῦ δευτέρου τεταγμένου· πεντάκις γάρ· τὸν δὲ περαιτέρω πάλιν δύο διαλείποντα κατὰ τὴν τοῦ τρίτου τεταγμένου· ἑπτάκις γάρ· τὸν δὲ ἔτι περαιτέρω ὑπὲρ δύο κείμενον κατὰ τὴν τοῦ τετάρτου τεταγμένου· ἐννεάκις γάρ· καὶ ἐπ' ἄπειρον τῷ αὐτῷ

τρόπῳ. Εἶτα μετὰ τοῦτον ἀπ' ἄλλης ἀρχῆς ἐπὶ τὸν δεύτερον ἐλθών, σκοπῶ, τίνας οἷός τέ ἐστι μετρεῖν, καὶ εὑρίσκω πάντας τοὺς τετράδα διαλείποντας, ἀλλὰ τὸν μὲν πρῶτον κατὰ τὴν τοῦ ἐν τῷ στίχῳ πρώτου τεταγμένου ποσότητα· τρίς γάρ· τὸν δὲ δεύτερον κατὰ τὴν τοῦ δευτέρου· πεντάκις γάρ· τὸν δὲ τρίτον κατὰ τὴν τοῦ τρίτου· ἑπτάκις γάρ· καὶ τοῦτο ἐφεξῆς ἀεί. Πάλιν δὲ ἄνωθεν ὁ τρίτος ὁ ζ' ὁ τὸ μέτρον παραλαβών, μετρήσει τοὺς ἐξ διαλείποντας, ἀλλὰ τὸν μὲν πρώτιστον κατὰ τὴν τοῦ τρία ποσότητα πρώτου κειμένου, τὸν δὲ δεύτερον κατὰ τὴν τοῦ ε' δευτεροταγῆς γὰρ οὗτος· τὸν δὲ τρίτον κατὰ τὴν τοῦ ζ' τρίτην γὰρ ἔχει καὶ οὗτος τάξιν ἐν τῷ στίχῳ. Καὶ κατὰ τὴν αὐτὴν ἀναλογίαν διάλου ἀπαρεμπόδιστον προχωρήσει σοι τοῦτο, ὥστε τὸ μὲν μετρεῖν διαδέξονται κατὰ τὴν ἐν τῷ στίχῳ αὐτῶν ἐγκειμένην τάξιν, τὸ δὲ πόσους διαλείποντας κατὰ τὴν ἀπὸ δυάδος ἐπ' ἄπειρον εὔτακτον τὴν τῶν ἀρτίων προκοπήν, ἢ κατὰ τὴν τῆς χώρας διπλασιασιν, καθ' ἣν ὁ μετρῶν τέτακται, τὸ δὲ ποσάκις κατὰ τὴν τῶν ἀπὸ τριάδος περισσῶν εὔτακτον ἐπ' ἄπειρον προχώρησιν. Ἐὰν οὖν σημείοις τισὶν ἐπιστίξῃς τοὺς ἀριθμούς, εὑρήσεις τοὺς μεταλαμβάνοντας τὸ μετρεῖν οὔτε ἅμα πάντας τὸν αὐτόν ποτε μετροῦντας, ἔστι δὲ ὅτε οὐδὲ δύο τὸν αὐτόν, οὔτε πάντας ἁπλῶς τοὺς ἐκκειμένους ὑποπίπτοντας μέτρῳ τινὶ αὐτῶν, 19
ἀλλὰ τινὰς μὲν παντελῶς διαφεύγοντας τὸ μετρηθῆναι ὑφ' οὑτινοσοῦν, τινὰς δὲ ὑπὸ ἑνὸς μόνου μετρουμένους, τινὰς δὲ ὑπὸ δύο ἢ καὶ πλειόνων. Οἱ μὲν οὖν οὐδαμῶς μετρηθέντες, ἀλλὰ διαφυγόντες τοῦτο πρῶτοί εἰσι καὶ ἀσύνθετοι, ὡς ὑπὸ κοσκίνου διακριθέντες, οἱ δὲ ὑπὸ ἑνὸς μόνου μετρηθέντες κατὰ τὴν ἑαυτῶν ποσότητα, ἓν μόνον μέριον ἑτερώνυμον ἔξουσι πρὸς τῷ παρωνύμῳ, οἱ δὲ ὑπὸ ἑνὸς μέν, ἑτέρου δὲ ποσότητι καὶ μὴ τῇ ἑαυτοῦ, ἢ ὑπὸ δύο ὁμοῦ μετρηθέντες πλείονα ἕξουσι τὰ ἑτερώνυμα

μέρη πρὸς τῷ παρωνύμῳ· οὗτοι οὖν ἔσονται οἱ δεύτεροι καὶ σύνθετοι. Τὸ δὲ τρίτον εἶδος τὸ κοινὸν ἀμφοτέρων, οἱ καθ' ἑαυτοὺς μὲν δεύτεροι καὶ σύνθετοι, πρὸς ἄλλους δὲ πρῶτοι καὶ ἀσύνθετοι, ἔσονται οἱ ἀποτελούμενοι ἀριθμοί, κατὰ τὴν ἑαυτοῦ ποσότητα πρώτου καὶ ἀσυνθέτου μετρήσαντός τινος, εἴ τις γενόμενος συγκρίνοιτο πρὸς ἄλλον, ὡςαύτως τὴν γένεσιν ἔχοντα· ὥςπερ ὁ θ' (ἐγένετο γὰρ ἐκ τοῦ τρίτου κατὰ τὴν ἑαυτοῦ ποσότητα μετρήσαντος· τρὶς γάρ), εἰ συγκρίνοιτο πρὸς τὸν ιε' (ἐγένετο γὰρ καὶ οὗτος ἐκ τοῦ ε κατὰ τὴν ἑαυτοῦ ποσότητα μετρήσαντος· πεντάκις γάρ), κοινὸν μέτρον τούτοις οὐκ ἔσται, εἰ μὴ μόνη ἡ μονάς. Ὥςτ' ἂν καὶ μέθοδον ἔχοιμεν διαγνωστικὴν τῶν πρὸς ἀλλήλους ἤτοι πρώτων καὶ ἀσυνθέτων ἢ δευτέρων καὶ συνθέτων, ὅτι ἐκείνων μὲν κοινὸν μέτρον μόνη μονάς ἐστι, τούτων δὲ πρὸς τῇ μονάδι καὶ ἕτερός τις ἀριθμός, καὶ ποῖος οὗτος ὑπάρχει. Εἰ ὁρισθείησαν ἡμῖν δύο περισσοὶ ἀριθμοί, προτείναντός τινος καὶ ἐπιτάξαντος διαγνῶναι, πότερον πρῶτοι πρὸς ἀλλήλους καὶ ἀσύνθετοί εἰσιν ἢ δεύτεροι καὶ σύνθετοι, καί, εἰ δεύτεροι καὶ σύνθετοι, ποῖος ἀριθμὸς αὐτῶν κοινὸν μέτρον ἐστί, χρὴ ἀντισυγκρίνειν τοὺς προτεθέντας ἀριθμούς, καὶ τὸν ἐλάττονα ἀπὸ τοῦ μείζονος ἀεὶ ἀφαιρεῖν, ὁσάκις δυνατόν, εἶτα τούτου ἀφαιρεθέντος, ἀνταφαιρεῖν ἀπὸ τοῦ λοιποῦ, ὁσάκις πάλιν δυνατόν· ἡ γὰρ ἀντιπερίστασις αὕτη καὶ ἀνταφαίρεσις ἀναγκαίως ἤτοι ἐπὶ μονάδα καταλήξει ἢ ἐπί τινα ἕνα καὶ τὸν αὐτὸν ἀριθμόν, ἀναγκαίως δὲ περισσόν. Ὅταν μὲν οὖν ἐπὶ μονάδα αἱ ἀφαιρέσεις περαιωθῶσι, πρώτους καὶ ἀσυνθέτους αὐτοὺς ἀποφαίνου εἶναι πρὸς ἀλλήλους, ὅταν δὲ ἐπὶ ἕτερόν τινα ἀριθμὸν περισσὸν τῇ ποσότητι ἀδιαφορούμενον, δευτέρους λέγε εἶναι πρὸς ἀλλήλους καὶ συνθέτους, καὶ κοινὸν αὐτοῖς εἶναι μέτρον αὐτὸν ἐκεῖνον τὸν ἀδιαφορούμενον ἀριθμόν· οἷον ἐὰν ὁ κγ' προβληθῇ

ἡμῖν καὶ ὁ μέ, ἄφελε τὸν ηγ ἀπὸ τοῦ μέ, καὶ λειφθήσεται κβ· τοῦτον ἀνταφαιρῶ ἀπὸ τοῦ ηγ· λοιπὴ μονάς· ταύτην ἀνταφαιρῶ ἀπὸ τοῦ κβ, ὁσάκις δυνατόν, καὶ εἰς μονάδα καταλήξει· διὰ τοῦτο πρῶτοι καὶ ἀσύνθετοι πρὸς ἀλλήλους εἰσί, καὶ κοινὸν αὐτῶν μέτρον ἡ ἀπολειφθεῖσα μονάς. Εἰ δὲ ἑτέρους ἀριθμοὺς προθείη τις, τὸν κά καὶ τὸν μθ', ἀφαιρῶ τὸν ἐλάττονα ἀπὸ τοῦ μείζονος· λείπεται ὁ κή· εἶτα πάλιν ἐκ τούτου ἀφαιρῶ τὸν αὐτὸν κά (δυνατὸν γάρ), λείπεται ζ'· ταῦτα ἀνταφαιρῶ ἀπὸ τοῦ κά· καταλείπεται ιδ'· ἐξ ὧν πάλιν τὰ ἑπτὰ ἐπεὶ ἀφαιρῶ (δυνατὸν γάρ), λειφθήσεται ἑπτά, ἑβδομάδα δὲ ἀπὸ ἑβδομάδος οὐ δυνατὸν ἀφαιρεθῆναι· ἡ ἄρα κατάληξις αὐτῶν εἰς ἀδιαφορούμενον τὸν ζ' ἐπεραιώθη. Δευτέρους οὖν πρὸς ἀλλήλους καὶ συνθέτους ὑποφαίνουσι τοὺς ἐξ ἀρχῆς τὸν κά καὶ τὸν μθ', καὶ κοινὸν αὐτῶν μέτρον πρὸς τῇ καθολικῇ μονάδι τὸν ἑπτά.

ιδ'. Πάλιν δὲ ἄνωθεν· τῶν ἁπλῶς ἀρτίων ἀριθμῶν οἱ μέν εἰσιν ὑπερτελεῖς, οἱ δὲ ἐλλιπεῖς, καθάπερ ἀμφότητες ἀντικείμενοι ἀλλήλοις, οἱ δὲ ἀνὰ μέσον ἀμφοτέρων, οἱ καὶ λέγονται τέλειοι. Καὶ εἰσὶ μὲν οἱ ἀντικεῖσθαι λεγόμενοι ἀλλήλοις ὑπερτελεῖς τε καὶ ἐλλιπεῖς, ἐν τῇ τῆς ἀνισότητος σχέσει διαιρούμενοι εἰς τὸ τὰ πλέον καὶ εἰς τὸ ἔλαττον· ἕτερος γὰρ παρὰ ταῦτα τρόπος ἀνισότητος οὐκ ἂν ἐπινοηθείη, καθάπερ οὔτε κακία οὔτε νόσος οὔτε ἀσυμμετρία οὔτε ἀπρέπεια οὔτε τῶν τοιούτων ἕκαστον· ἐν μὲν γὰρ τῷ πλείονι αἵ τε ὑπερβολαὶ καὶ πλεονεξίαι καὶ ὑπερεκπτώσεις καὶ περισσότητες γίνονται, ἐν δὲ τῷ ἐλάττονι αἱ ἔνδειαι καὶ ἐλλείψεις καὶ στερήσεις καὶ ὀλιγοεξίαι, ἐν δὲ τῷ μεταξὺ τοῦ πλέονος καὶ τοῦ ἐλάττονος κειμένῳ, ὃ ἐστιν, ἴσῳ ἀρεταί τε καὶ ὑγιεῖαι καὶ μετριότητες καὶ εὐπρέπειαι καὶ κάλλη καὶ τὰ ὅμοια· ὧν γενικώτατον τὸ λεχθὲν τοῦ ἀριθμοῦ εἶδος τὸ τέλειον. Ὑπερτελὴς μὲν οὖν ἀριθμός ἐστιν ὁ ὑπὲρ τὰ προσήκοντα αὐτῷ

καὶ ἐπιβάλλοντα μέρη ἔχων ἕτερα πλείονα· ὡσανεὶ εἴ
21 τι ζῴων πλείοσι μέρεσιν ἢ μέλεσι τελεσιουργούμενον εἴη, δέκα μὲν γλώσσας ἔχον κατὰ τὸν ποιητήν, δέκα δὲ στόματα, ἢ ἐννεάχειλον, ἢ τριστοίχοις κεχρημένον ὀδοῦσιν, ἢ ἑκατόγχειρον, ἢ πλείονας δακτύλους ἐν ἑτέρᾳ τῶν χειρῶν ἔχον· οὕτω καὶ εἴ τις ἀριθμός, πάντων τῶν ἐν αὐτῷ μερῶν ἐξετασθέντων καὶ εἰς ἓν ἄθροισμα συγκεφαλαιωθέντων, ἀντεξεταζόμενος εὑρίσκοιτο πλείονα τὰ ἴδια μέρη ἑαυτοῦ ἔχων, ὑπερτελὴς οὗτος καλεῖται· ὑπερβαίνει γὰρ τὴν τοῦ τελείου πρὸς τὰ ἑαυτοῦ μέρη συμμετρίαν· οἷός ἐστιν ὁ ιβ', ὁ κδ' καὶ ἄλλοι τινές· ἔχει μὲν γὰρ ὁ ιβ' ἥμισυ στ', τρίτον δ', τέταρτον γ', ἕκτον β', δωδέκατον ά, ἅπερ ὁμοῦ πάντα συγκεφαλαιωθέντα ποιεῖ ιστ', ὃς πλείων ἐστὶ τοῦ ἐξ ἀρχῆς ιβ'· τὰ ἄρα μέρη αὐτοῦ πλείονα τοῦ ὅλου ὑπάρχει. Ὁ δὲ κδ' ἔχει καὶ αὐτὸς ἥμισυ, τρίταν, τέταρτον, ἕκτον, ὄγδοον, δωδέκατον, εἰκοστοτέταρτον, ἅπερ ὑπάρχει ιβ', ή, στ', δ', γ', β', ά· συγκεφαλαιωθέντα δὲ ταῦτα συνάγει τὸν λστ', ὃς συγκρινόμενος τῷ ἐξ ἀρχῆς τῷ κδ' μείζων αὐτοῦ εὑρίσκεται, καίτοι ἐκ τῶν ἐκείνου μερῶν συντεθείς· πλείονα ἄρα κἀνταῦθα τὰ μέρη τοῦ ὅλου.

ιέ. Ἔλλιπὴς δὲ ἀριθμός ἐστιν ὁ τὸ ἐναντίον τοῖς δειχθεῖσι πεπονθώς, καὶ τὰ ἑαυτοῦ μέρη, συντεθέντα ὑφ' ἓν κατὰ σύγκρισιν, ἑαυτοῦ ἐλάττονα κεκτημένος, ὡς εἴ τι ζῴων τῶν κατὰ φύσιν μελῶν ἢ μερῶν ἐλαττοῦται, ἢ εἴ τις μονόφθαλμος εἴη, ὡς τὸ

Κυκλοτερὴς δ' ὀφθαλμὸς ἔεις ἐν μ-
ἑκειτο μετώπῳ.

ἢ εἴ τις μονόχειρ εἴη, ἢ ἐν ἑτέρᾳ τῶν χειρῶν ἐλάττονας τῶν ε δακτύλους κεκτημένος, ἢ εἰ ἄγλωσσος εἴη, ἢ τοιούτῳ τινὶ ἐστερημένος· ἐλλιπὴς ἂν ὁ τοιοῦτος λέγοιτο καὶ οἱονεὶ πηρός, κατὰ τὴν τοῦ

ἀριθμοῦ ὁμοιότητα τοῦ ἔχοντος τὰ ἴδια μέρη ἐλάττονα ἑαυτοῦ· οἷός ἐστιν ὁ ἡ ἢ ὁ ιδ· ὁ μὲν γὰρ ἡ μέρη ἔχει ἥμισυ, τέταρτον, ὄγδοον, ἅπερ ἐστὶ δ', δύο, ἕν, συγκεφαλαιωθέντα δὲ εἰς τὸ αὐτὸ ζ' γίνεται, ἐλάττονα τοῦ ἐξ ἀρχῆς καὶ ἐλλιπῆ πρὸς τὴν τοῦ ὅλου συμπλήρωσιν. Πάλιν ὁ ιδ' ἔχει ἥμισυ, ἕβδομον, τεσσαρεςκαιδέκατον, ἅπερ ὑπάρχει ζ', β', α', σύμπαντα δὲ ὁμοῦ δέκα, ἐλάττονα τοῦ ἐξ ἀρχῆς· ἐλλείπει ἄρα καὶ οὗτος ἐν τοῖς μέρεσι πρὸς τὸ συμπληρωθῆναι τὸ ὅλον ἐξ αὐτῶν.

ιστ. Ἀντικειμένων δὴ τῶν δύο τούτων εἰδῶν ὡςανεὶ ἐν ἀκροτήτων τρόπῳ, μεσότης φαίνεται ὁ 22
λεγόμενος τέλειος, ἐν ἰσότητι εὑρισκόμενος, καὶ οὔτε τὰ μέρη ἑαυτοῦ πλείονα ἀποτελῶν συνταθέντα, οὔτε ἑαυτὸν μείζονα τῶν μερῶν ἀποφαίνων, ἀλλ' ἀεὶ ἴσος τοῖς ἑαυτοῦ μέρεσιν ὑπάρχων· τὸ δὲ ἴσον τοῦ πλείονος καὶ ἐλάττονος πάντως ἐν μεταιχμίῳ θεωρεῖται, καὶ ἔστιν ὥςπερ τὸ μέτριον τοῦ ὑπερβάλλοντος καὶ τοῦ ἐλλείποντος μεταξύ, καὶ τὸ ὁμόφωνον τοῦ ὀξυτέρου καὶ βαρυτέρου. Ὅταν οὖν ἀριθμὸς πάνθ', ὅσα ἐνδέχεται ἐν αὐτῷ εἶναι, μέρη συναχθέντα καὶ συγκεφαλαιωθέντα ἐν συγκρίσει τῇ πρὸς ἑαυτὸν ἔχων μήτε ὑπερβάλλῃ τῷ πλήθει αὐτὰ μήτ' ὑπερβάλληται ὑπ' αὐτῶν, τότε ὁ τοιοῦτος τέλειος κυρίως λέγεται, ὁ τοῖς ἑαυτοῦ μέρεσιν ἴσος ὤν· οἷος ὁ στ' καὶ ὁ κή· ὅ τε γὰρ στ' ἔχει μέρη ἥμισυ, τρίτον, ἕκτον, ἅπερ ἐστὶ τρία, δύο, ἕν, ἅπερ συγκεφαλαιωθέντα ὁμοῦ καὶ γενόμενα στ' ἴσα τῷ ἐξ ἀρχῆς ὑπάρχει, καὶ οὔτε πλείονα οὔτε ἐλάττονα· καὶ ὁ κή μέρη ἔχει ἥμισυ, τέταρτον, ἕβδομον, τεσσαρεςκαιδέκατον, εἰκοστόγδοον, ἅπερ γίνεται ιδ', ζ', δ', β', α', καὶ ὑφ' ἓν συναθροισθέντα ἀποτελεῖ αὐτὸν τὸν κή, καὶ οὕτως οὔτε τὰ μέρη πλείονα τοῦ ὅλου οὔτε τὸ ὅλον τῶν μερῶν, ἀλλ' ἡ σύγκρισις ἐν ἰσότητι, ὅπερ τελείου ἰδιότης. Συμβέβηκε δέ, καθάπερ τὰ καλὰ τά τε κατ' ἀρετὴν σπάνια καὶ εὐ-

ἀριθμητα, τὰ δὲ αἰσχρὰ καὶ ἐν κακίᾳ εἶναι πολύχοα, οὕτω καὶ ὑπερτελεῖς μὲν καὶ ἐλλιπεῖς παμπόλλους καὶ ἀτάκτους εὑρίσκεσθαι, ἀκόσμου ῥύσης τῆς αὐτῶν εὑρέσεως, τελείους δὲ εὐαριθμήτους καὶ τεταγμένους μετὰ τοῦ προσήκοντος κόσμου· εἷς μὲν γὰρ μόνος εὑρίσκεται ἐν μονάσιν ὁ στ, ἕτερος δὲ μόνος ἐν δεκάσιν ὁ κή, τρίτος δέ τις ἐν βαθμῷ ἑκατοντάδων μόνος ὁ υξστ, τέταρτος δὲ ἐν χιλιάδων ὄρῳ, τουτέστιν, ἐντὸς μυριάδων, ὁ γρκή· καὶ παρέπεται αὐτοῖς, μίαν παρὰ μίαν κατάληξιν εἰς ἑξάδα ἢ ὀγδοάδα καταλήγειν, καὶ πάντως εἶναι ἀρτίους. Γένεσις δὲ αὐτῶν γλαφυρά τε καὶ ἀσφαλής, οὔτε παραλείπουσά τινα τῶν τελείων, οὔτε ἀδιαφοροῦσά τινα τῶν μὴ τοιούτων, τούτῳ γινομένη τῷ τρόπῳ· ἐκτίθεσθαι δεῖ τοὺς ἀπὸ μονάδος ἀρτιάκις ἀρτίους, προβιβάζοντα ἑξῆς ἐν ἑνὶ στίχῳ, μέχρις οὗ βούλει, εἶτα ἀεὶ κατὰ ἑνὸς πρόσθεσιν ἐπισωρεύειν, καὶ καθ' ἑκάστην ἐπισώρευσιν σκοπεῖν τὸν γιγνόμενον, οἷός ἐστι· καὶ ἂν μὲν εὕρῃς πρῶτον καὶ ἀσύνθετον ὑπάρχοντα, τῇ τοῦ ἑσχάτου προσληφθέντος ποσότητι πολλαπλασιάσεις αὐτόν, καὶ ὁ ἀποτελεσθεὶς πάντως τέλειος ἔσται· ἐὰν δὲ δεύτερον καὶ σύνθετον, οὐ πολλαπλασιάσεις, ἀλλ' ἐπισωρεύσεις τὸν ἑξῆς, καὶ πάλιν ἐπισκέψῃ, τίς ὁ ἀποτελούμενος· καὶ ἐὰν μὲν δεύτερος καὶ σύνθετος, πάλιν παραλείψεις καὶ οὐ πολλαπλασιάσεις, ἀλλ' ἐπισωρεύσεις τὸν ἑξῆς, ἐὰν δὲ πρῶτος καὶ ἀσύνθετος, τῷ ἐσχάτῳ εἰς τὴν σύνθεσιν παραληφθέντι πολλαπλασιάσεις αὐτόν, καὶ ὁ γινόμενος πάντως τέλειος ἔσται, καὶ τοῦτο μέχρις ἀπείρου παραπλησίως ποιῶν πάντας ἑξῆς ἀπογεννήσεις τοὺς τελείους, μηδενὸς ἀπολειπομένου· οἷον ὡς ἐν ὑποδείγματι ἔστωσαν ἐφεξῆς οἱ ἀπὸ μονάδος ἀρτιάκις ἄρτιοι ὁ ά, β, δ, η, ιστ, λβ, ξδ, ρκή, ϛυστ, φιβ, ϡκδ, βμη, δϲστ καὶ ἐφ' ὁσονοῦν· ἐπισωρεύω τοίνυν τῷ ἑνὶ τὸν δύο, καὶ σκοπῶ τὸν ἐξ ἀμφοτέρου, τίς ἀριθμός ἐστι, καὶ εὑρίσκω τὸν γ,

καὶ ἐξ ὧν προαπεδείχθη, πρῶτον εὑρίσκω καὶ ἀσύνθετον· ἑτερώνυμον γὰρ μόριον οὐκ ἔχει, ἀλλὰ μόνον τὸ ἑαυτῷ παρώνυμον· διὰ τοῦτο αὐτὸν πολλαπλασιάζω τῇ τοῦ ὑστέρου εἰς τὴν σωρείαν ληφθέντος ποσότητι, τουτέστι, τοῦ δύο, καὶ γεννᾶταί μοι ὁ ἓξ, καὶ τοῦτον ἀποφαίνομαι ἐνεργείᾳ πρῶτον εἶναι τέλειον καὶ ἔχειν μέρη μόνα ἐκεῖνα τὰ ἐνθεωρούμενα τοῖς ἀριθμοῖς, ἐξ ὧν συνέστη· μονάδα μὲν γὰρ ἐκ παρωνύμου μέρους ἔξει, ὃ ἐστι τοῦ ἀριθμοῦ ἥμισυ, τρία δὲ ἐξ ἡμίσους κατὰ τὸν β' θεωρούμενον, ἀντιστρόφως δὲ δυάδα ἐκ τρίτου. Ὁ δὲ ἑπτὰ καὶ αὐτὸς ἑτέρου προεπισωρευθέντος τοῖς προτέροις, τοῦ δ', γεννᾶται τῇ αὐτῇ μεθόδῳ· τὸ γὰρ συγκεφαλαίωμα τῶν τριῶν, τοῦ τε ἑνὸς καὶ δύο καὶ τέσσαρα, γίνεται μὲν ἑπτά, εὑρίσκεται δὲ πρῶτος καὶ ἀσύνθετος· μόνον γὰρ τὸ παρώνυμον μόριον ἐπιδέχεται τὸ ἕβδομον· διὰ τοῦτο πολυπλασιάζω αὐτὸν τῇ τοῦ ἐσχάτου προληφθέντος εἰς τὴν σωρείαν ποσότητι, καὶ ἀποβαίνει μοι ὁ κή, τοῖς ἰδίοις μέρεσιν ἴσος, ἔχων καὶ αὐτὸς ἐκ τῶν προηγουμένων τὰ ἐν αὐτῷ μέρη, ἥμισυ μὲν παρὰ τὴν δυάδα, τέταρτον δὲ παρὰ τὴν ἑπτάδα, ἕβδομον δὲ παρὰ τὸν δ', τεσσαρεσκαιδέκατον δὲ παρὰ τὴν τοῦ ἡμίσους ἀντιδιαστολήν, εἰκοστάγδοον δὲ παρὰ τὴν αὐτὴν τούτου παρωνυμίαν, ἥτις ἐν πᾶσι μονὰς ὑπέρχει. Εὑρημένων δὴ τούτων, ἐν μὲν μονάσι τοῦ στ', ἐν δὲ δεκάσι τοῦ κή, εἰς τὴν τῶν ἑφεξῆς πλάσιν τὸ αὐτό σε δεῖ ποιῆσαι. Πάλιν γὰρ ἐπισυνθὲς τὸν ἑξῆς τὸν η', καὶ γίνονται ἅμου ιε· ἐπισκοπῶν αὐτὸν εὑρίσκω οὐκέτι πρῶτον καὶ ἀσύνθετον, πρὸς δὲ τῷ παρώνυμῳ μορίῳ ἔτι καὶ πέμπτον ἔχει καὶ τρίτον ἑτερώνυμα· διὸ οὐ πολλαπλασιάζω τῷ η αὐτόν, ἀλλ' ἐπισωρεύω τὸν ἑξῆς τὸν ισ', καὶ γίνεται ὁ λά· οὗτος ἐπειδὴ πρῶτος καὶ ἀσύνθετός ἐστιν, ἀναγκαίως πολυπλασιασθήσεται, κατὰ τὸ τῆς μεθόδου καθολικὸν πρόσταγμα, τῷ ἐσχάτῳ εἰς τὴν σωρείαν προειλημμένῳ, τῷ ισ', καὶ

γενήσεται ὁ υϟστ' ἐν ἑκατοντάσιν· ἔπειτα τῷ αὐτῷ τρόπῳ καὶ ὁ ηρκή ἐν χιλιάσι· καὶ ἀεὶ οὕτως, μέχρις ἂν εὑτονῃ τις παρέπεσθαι. Ἡ ἄρα μονὰς δυνάμει, ἀλλ' οὔπω ἐνεργείᾳ ἐστὶ τέλειος· ἐκ γὰρ τοῦ στίχου πρωτίστην αὐτὴν εἰς τὴν σωρείαν λαβών, ἐπεσκόπησα κατὰ τὸ πρόσταγμα, ποταπή τις ὑπάρχει, καὶ εὗρον πρώτην καὶ ἀσύνθετον· ὡς ἀληθῶς γάρ, καὶ οὐ κατὰ μετοχήν, ὡς οἱ ἄλλοι, πρώτη τε ὑπάρχει παντὸς ἀριθμοῦ καὶ ἀσύνθετος μόνη. Πολυπλασιάζω οὖν αὐτὴν τῷ ληφθέντι ἐσχάτῳ εἰς τὴν σωρείαν, τουτέστιν, ἑαυτῇ, καὶ γεννᾶταί μοι μονάς· ἅπαξ γὰρ ἓν μονάς. Τελεία ἄρα ἐστὶ δυνάμει ἡ μονάς· ἴση γὰρ τοῖς ἰδίοις μέρεσι κατὰ δύναμιν αὕτη, οἱ δ' ἄλλοι κατ' ἐνέργειαν.

ιϛ'. Προτετεχνολογημένου δὲ ἡμῖν ἐν τοῖς ἄνω περὶ τοῦ καθ' αὐτὸ ποσοῦ, νῦν μετερχώμεθα καὶ ἐπὶ τὸ πρός τι. Τοῦ πρός τι τοίνυν ποσοῦ δύο αἱ ἀνωτάτω γενικαὶ διαιρέσεις εἰσίν, ἰσότης καὶ ἀνισότης· πᾶν γὰρ ἐν συγκρίσει πρὸς ἕτερόν πως θεωρούμενον ἤτοι ἴσον ὑπάρχει ἢ ἄνισον, τρίτον δὲ παρὰ ταῦτα οὐδέν. Τὸ μὲν οὖν ἴσον θεωρεῖται, ὅταν τῶν συγκρινομένων τὸ ἕτερον μήτε ὑπερέχῃ μήτε ἐλλείπῃ πρὸς τὴν τοῦ λοιποῦ παραβολήν, οἷον ἑκατὸν πρὸς ἑκατόν, ἢ δέκα πρὸς δέκα, ἢ δύο πρὸς δύο, ἢ μνᾶ πρὸς μνᾶν, ἢ τάλαντον πρὸς τάλαντον, ἢ πῆχυς πρὸς πῆχυν, καὶ τὰ παραπλήσια, εἴτε ἐν ὄγκῳ εἴτε ἐν μήκει εἴτε ἐν βάρει εἴτε ἐν ποσότητι ἡτινιοῦν. Ἔστι δὲ καὶ ἰδίως ἡ σχέσις αὕτη ἡ τῆς ἰσότητος ἄσχιστος καθ' ἑαυτὴν καὶ ἀδιαίρετος, ὡς ἂν ἀρχικωτάτη· διαφορὰν γὰρ οὐδεμίαν ἐπιδέχεται· οὐ γάρ ἐστι τοῦ ἴσου τὸ μὲν τοιόνδε, τὸ δὲ τοιόνδε, ἀλλ' ἐνὶ τρόπῳ καὶ τῷ αὐτῷ τὸ ἴσον ἐστίν. Ἀμέλει καὶ τὸ ἀνθυπακοῦον τῷ ἴσῳ οὐχ ἑτερωνυμεῖ πρὸς αὐτό, ἀλλὰ συνωνυμεῖ, ὥσπερ τὸ φίλος, γείτων, συστρατιώτης, οὕτω δὴ καὶ ἴσος· ἴσῳ γάρ ἐστιν ἴσος. Τὸ δὲ ἄνισον καθ' αὑτὸ καὶ καθ' ὑποδιαίρεσιν διχῇ

κβ'. Πολλαπλασιεπιμόριος μὲν οὖν ἐστὶ σχέσις τις, ὅταν τῶν συγκρινομένων ὁ μείζων πλεονάκις ἢ ἅπαξ ἔχῃ ἐν ἑαυτῷ τὸν ἐλάττονα καὶ πρὸς τούτῳ μόριόν τι ἐν αὐτοῦ, οἷον δήποτε. Διττῶς δέ, ὡς ἂν δὴ σύνθετος, ὁ τοιοῦτος ποικίλλεται, κατὰ τὴν τῶν συμπλακέντων ὀνομάτων καθ' ἑκάτερον ἰδιότητα· ἐπεὶ γὰρ ὁ πολλαπλασιεπιμόριος ἔκ τε τοῦ πολλαπλασίου καὶ τοῦ ἐπιμορίου γενικῶς σύγκειται, ἔξει ἐν ταῖς εἰδικαῖς ὑποδιαιρέσεσι ποικιλίαν τινὰ καὶ ἐξαλλαγήν, ἰδίαν μὲν κατὰ τὸ πρότερον μέρος τοῦ ὀνόματος, ἰδίαν δὲ κατὰ τὸ δεύτερον μέρος τὰ τοῦ ἐπιμορίου, οἷον κατὰ μὲν τὸ πρότερον τὸ τοῦ πολλαπλασίου τὸ διπλάσιον ἢ τριπλάσιον ἢ τετραπλάσιον ἢ πεντα- 33
πλάσιον καὶ ἐφεξῆς, κατὰ δὲ τὸ δεύτερον τὸ τοῦ ἐπιμορίου γενικῶς τὰ εἰδικὰ αὐτοῦ εὔτακτα τὸ ἡμιόλιον, τὸ ἐπίτριτον, τὸ ἐπιτέταρτον, τὸ ἐπίπεμπτον καὶ ἐφεξῆς, ὥστε τὴν σύνθεσιν τοιαύτη τινὶ τάξει προχωρεῖν, διπλασιεφήμισυς, διπλασιε-

πίριτος, διπλασιεπιτέταρτος, διπλασιεπίπεμπτος, διπλασιεπίεκτος καὶ ἀνάλογον οὕτως· καὶ ἀπ' ἄλλης ἀρχῆς τριπλασιεφήμισυς, τριπλασιεπίτριτος, τριπλασιεπιτέταρτος, τριπλασιεπίπεμπτος· καὶ πάλιν ἄνωθεν, τετραπλασιεφήμισυς, τετραπλασιεπίτριτος, τετραπλασιεπιτέταρτος, τετραπλασιεπίπεμπτος· καὶ πάλιν ἄνωθεν, πενταπλασιεφήμισυς, πενταπλασιεπίτριτος, πενταπλασιεπιτέταρτος, πενταπλασιεπίπεμπτος, καὶ τὰ τούτοις ἐπ' ἄπειρον ἀναλογοῦντα· ὁσάκις μὲν γὰρ ὁ μείζων τὸν ἐλάττονα ὅλον ἐν ἑαυτῷ ἔχει, παρὰ τὴν τοσαύτην ποσότητα παρονομασθήσεται τὸ πρότερον μέρος τοῦ λόγου τῶν συμπλεκομένων ἐν τῷ πολλαπλασιεπιμορίῳ, οἷον δ' ἂν τὸ μόριον τὸ πρὸς τῷ πολλάκις ὅλῳ ἐνυπάρχον ἐν τῷ μείζονι ᾖ, πρὸς ἐκεῖνο παρώνυμον ἔσται τὸ δεύτερον μέρος τοῦ λόγου, ἀφ' οὗ σύνθετον τὸ πολλαπλασιεπιμόριον. Ὑπόδειγμα δὲ τούτου· ὁ μὲν ε τοῦ δύο διπλασιεφήμισυς, ὁ δὲ ζ τοῦ γ διπλασιεπίτριτος, ὁ δὲ θ τοῦ δ διπλασιεπιτέταρτος, ὁ δὲ ια τοῦ ε διπλασιεπίπεμπτος· καὶ ἀεὶ οὕτως εὐτάκτως αὐτοὺς γεννήσεις συγκρίνων τοῖς ἀπὸ δυάδος ἑξῆς ἀρτίοις τε καὶ περισσοῖς τοὺς ἀπὸ πεντάδος καθαροὺς περισσούς, πρῶτον πρώτῳ, δεύτερον δευτέρῳ, τρίτον τρίτῳ, καὶ τοὺς ἄλλους ὁμοταγεῖς τοῖς ὁμοταγέσιν, ἀπὸ δὲ δυάδος τῶν ἐφεξῆς πάντων ἀρτίων οἱ ἀπὸ πεντάδος συνεχεῖς πεντάδι διαφέροντες διπλασιεφημίσεις καθαροὶ ἔσονται, ὁμοταγεῖς ὁμοταγῶν, ἀπὸ δὲ τοῦ τρίτου πάντων τῶν τριάδι διαφερόντων ἐκτεθέντων, οἷον γ, στ, θ, ιβ, ιε, ιή, κά, καὶ ἐν ἄλλῳ στίχῳ τῶν ἀπὸ ἑβδομάδος ἑβδομάδι διαφερόντων ἐπ' ἄπειρον ἐκτεθέντων, οἷον ζ, ιδ, κά, κή, λέ, μβ, μθ, καὶ συγκρινομένων μειζόνων ἐλάττοσι, πρώτου πρώτῳ, δευτέρου δευτέρῳ, τρίτου τρίτῳ, τετάρτου τετάρτῳ, καὶ ἐφεξῆς, τὸ δεύτερον εἶδος ἀναφαίνεται τὸ τῶν διπλασιεπιτρίτων μετὰ τῆς οἰκείας εὐτα-

ξίας ἐκκειμένου. Εἶτα πάλιν ἀπ' ἄλλης ἀρχῆς ἂν 34
ἐκτεθῇ ὁ τῶν τετραπλασίων καθαρὸς στίχος, δ', ή, ιβ', ισ', κ', κδ', κή, λβ', εἶτα παρεκτεθῇ αὐτῷ ἐν ἄλλῳ στίχῳ ὁ ἀπὸ τῆς ἐννεάδος ἀρχόμενος κατὰ ἐννεάδος προκοπὴν συνεχὴς ἀριθμός, οἷον θ', ιή, κζ', λστ', μέ, νδ', ἔξομεν ἀναφαινόμενον πάλιν τὸν εἰδικὸν πολλαπλασιεπιμόριον, τουτέστι, τὸν διπλασιεπιτέταρτον εὔτακτον· καὶ τοῦτο ἐπινοεῖν πάρεστι τῷ βουλομένῳ μέχρις ἀπείρου. Τὸ δὲ ἕτερον εἶδος ἄρχεται ἀπὸ τοῦ τριπλασιεφημίσους, οἷον ὁ ζ' πρὸς τὸν β', καὶ ὁ ιδ' πρὸς τὸν δ', καὶ ἁπλῶς οἱ καθ' ἑβδομάδα προχωροῦντες πρὸς τοὺς ἀπὸ δυάδος εὐτάκτους ἀρτίους. Εἶτα πάλιν ἐξ ὑπαρχῆς ὁ ί πρὸς τὸν γ' τριπλασιεπίτριτός ἐστι πρῶτος, ὁ δὲ κ' πρὸς τὸν στ' τριπλασιεπίτριτος δεύτερος, καὶ ἁπλῶς οἱ δεκάδι διαφέροντες ἐφεξῆς δεκαπλάσιοι πρὸς τοὺς ἐφεξῆς τριπλασίους τριάδι διαφέροντας· ἃ δὴ ἀκριβέστερον κατιδεῖν δυνάμεθα καὶ τρανώτερον ἐν τῷ προεπιγνωθέντι διαγράμματι· πρὸς μὲν γὰρ τὸν πρῶτον στίχον οἱ ἐφεξῆς τάξει συγκρινόμενοι ὅλοι πρὸς ὅλον τὰ τοῦ πολλαπλασίου εὔτακτα εἴδη ἐπ' ἄπειρον ὑποδεικνύουσι, πρὸς τὸν αὐτὸν ἀεὶ πρῶτον ἅπαντες συγκρινόμενοι, πρὸς δὲ τοὺς ὑπεράνω πάντας ἐφεξῆς, εἷς ἕκαστος πρὸς τὸν γείτονα· τῆς ἀρχῆς ἡμῖν ἀπὸ τοῦ δευτέρου γινομένης στίχου πάντα τὰ τοῦ ἐπιμορίου εἴδη κατὰ τὴν οἰκείαν εὐταξίαν γεννᾶται· ἀπὸ δὲ τοῦ τρίτου στίχου πρὸς αὐτόν τε πρῶτον καὶ τοὺς συνεχεῖς αὐτῷ καθ' ἕκαστον οἱ ἀπὸ τοῦ πέμπτου περισσοταγεῖς πάντες ἀντεξεταζόμενοι τὰ τοῦ ἐπιμεροῦς πάντα εἴδη εὔτακτα ἀποδείξουσι· τοῦ δὲ πολλαπλασιεπιμορίου αἱ συγκρίσεις τάξιν φυσικὴν καὶ ἰδίαν ἔξουσιν, ἐὰν ἀπὸ τοῦ δευτέρου στίχου ἀρχόμενοι τοὺς ἀπὸ τοῦ πέμπτου συγκρίνωμεν ἀριθμούς, πρῶτον πρὸς πρῶτον, καὶ δεύτερον πρὸς δεύτερον, καὶ τρίτον πρὸς τρίτον, καὶ οὕτως ἐφε-

ξῆς, πρὸς δὲ τὸν τρίτον τοὺς ἀπὸ τοῦ ἑβδόμου, πρὸς δὲ τὸν τέταρτον τοὺς ἀπὸ τοῦ θ', καὶ κατὰ τὴν ἁρμόζουσαν εὐταξίαν, μέχρις ἂν εὐτονῇ τις παρέπεσθαι. Δῆλον δέ, ὅτι οἱ ἐλάττονες σὺν τῇ ὑπὸ προθέσει ἀντονομάζονται καὶ ἐνθάδε πρὸς τοὺς μείζονας κατὰ τὰς ἐγκειμένας πᾶσι προσηγορίας.

35 [Περὶ πολλαπλασιεπιμεροῦς.]

κγ'. Πολλαπλασιεπιμερὴς δέ ἐστιν ἡ λοιπὴ σχέσις τοῦ ἀριθμοῦ, αὐτή τε καὶ ἡ σὺν τῇ ὑπὸ προθέσει ἀντονομαζομένη αὐτῇ, ὅταν ἀριθμὸς τὸν συγκρινόμενον ἀριθμὸν ὅλον τε ἔχῃ ἐν ἑαυτῷ πλεονάκις ἢ ἅπαξ (τουτέστι, δὶς ἢ τρὶς ἢ ὁσακισοῦν), καὶ πρὸς τούτῳ μέρη τινὰ αὐτοῦ πλείονα ἑνός, ἢ β', ἢ γ', ἢ δ', ἢ ε', καὶ ἑφεξῆς. Ταῦτα δὲ οὐκ ἔστι μὲν ἡμίση διὰ τὰ προλεχθέντα, ἤτοι δὲ τρίτα ἢ τέταρτα ἢ πέμπτα, καὶ κατὰ τὴν ὁμοίαν ἀκολουθίαν. Οὐ χαλεπὸν δὲ ἐκ τῶν προφρασθέντων νοῆσαι καὶ τὰ τούτου εἴδη, ὡς ὁμοίως καὶ ἀπαραλλάκτως τοῖς πρὸ αὐτοῦ ποικίλλεται, διπλασιεπιδιμερής, εἶτα διπλασιεπιτριμερής, εἶτα διπλασιεπιτετραμερής, καὶ πάλιν τριπλασιεπιδιμερής, τριπλασιεπιτριμερής, τριπλασιεπιτετραμερής, καὶ ἀνάλογον· οἷον ὁ μὲν ἡ τοῦ γ', καὶ ὁ ισ' τοῦ στ' διπλασιεπιδιμερής, καὶ καθόλου οἱ ἀπὸ ὀγδοάδος ὀγδοάδι διαφέροντες τῶν ἀπὸ τριάδος τριάδι διαφερόντων, ὁμοταγεῖς ὁμοταγῶν, διπλασιεπιδιμερεῖς εἰσί, καὶ ἐπὶ τῶν λοιπῶν εἰδῶν δύναιτ' ἄν τις ἀκολουθῶν τοῖς προειρημένοις εὑρίσκειν τὴν εὐταξίαν· κἀνταῦθα δὲ σὺν τῇ ὑπὸ προθέσει νοητέον συμπροϊοῦσαν καὶ συμμεταβαλλομένην τὴν τοῦ συγκρινομένου ἀντονομασίαν. Καὶ οὗτως αἱ δέκα ἀριθμητικαὶ σχέσεις πέρας ἡμῖν τῆς θεωρίας, ὡς ἐν πρώτῃ λαμβάνουσιν εἰσαγωγῇ· ἔστι δέ τις γλαφυρωτέρα ἔφοδος καὶ ἀναγκαιοτάτη πρὸς πᾶσαν τὴν

τῶν ὅλων φυσιολογίαν, ἥτις ἡμῖν σαφέστατα καὶ ἀναμφιλέκτως παρίστησιν, ὅτι πρῶτον μὲν τὸ καλὸν καὶ ὡρισμένον καὶ ὑπὸ ἐπιστήμην πίπτον φύσει προγενέστερον τοῦ ἀορίστου καὶ ἀπεριλήπτου καὶ αἰσχροῦ, εἶτα ὅτι καὶ τὰ τοῦ ἀπείρου καὶ ἀορίστου μέρη καὶ εἴδη ὑπ' ἐκείνου μορφοῦται καὶ περαίνεται καὶ τοῦ προσήκοντος κόσμου καὶ εὐταξίας τυγχάνει· καὶ ὥςπερ ὑπὸ σφραγιστῆρός τινος ἢ μέτρου πάντα τὰ ἐμπίπτοντα μεταλαμβάνει τῆς ὁμοιότητος καὶ ὁμωνυμίας, οὕτω γὰρ εὐλόγως καὶ τὸ τῆς ψυχῆς λογικὸν τοῦ ἀλόγου κοσμητικὸν ἔσται, καὶ ὁ θυμὸς καὶ ἡ ἐπιθυμία, ἐν τοῖς τῆς ἀνισότητος δυσὶν εἴδεσι τεταγμένα, ὑπὸ τοῦ διανοητικοῦ εὐτακτηθήσονται ὡς ὑπό τινος ἰσότητος καὶ ταυτότητος. Ἐκ δὲ τῆς ἀπισώσεως ταύτης ὀρθῶς 56
ἡμῖν ἀποβήσονται αἱ λεγόμεναι ἠθικαὶ ἀρεταί, σωφροσύνη, ἀνδρία, πραότης, ἐγκράτεια, καρτερία καὶ αἱ ὅμοιαι. Φέρε οὖν ἐπισκεψώμεθα, ποταπὸν τὸ εἰς τὰ φυσικὰ ταῦτα συντεῖνον θεώρημα· ἔστι δὲ ἀποδεικτικὸν τοῦ ἀπ' ἰσότητος μονωτάτης καὶ πρωτίστης οἷον μητρός τινος καὶ ῥίζης γεννᾶσθαι πάντα τὰ τῆς ἀνισότητος ποικίλα εἴδη καὶ εἰδῶν διαφοράς. Προκείσθωσαν γὰρ ἡμῖν ἐν τρισὶν ὅροις ἴσοι τινὲς ἀριθμοί, πρῶτον μὲν μονάδες, εἶτα δυάδες ἐν ἄλλοις τρισίν, εἶτα τριάδες, καὶ ἑξῆς τετράδες, ἔπειτα πεντάδες, καὶ τοῦτο μέχρις οὗ βούλει· οὕτω τῆς τούτων ἐκθέσεως θείᾳ τινί, καὶ οὐκ ἀνθρωπίνῳ λόγῳ, ἀλλ' ὑπὸ φύσεως αὐτῆς γεγονυίας, πρῶτοι μὲν γεννήσονται πολλαπλάσιοι, καὶ τούτων αὐτῶν ἡγήσεται μὲν διπλάσιος, μετ' αὐτὸν δὲ τριπλάσιος, ἐπὶ δὲ τούτῳ τετραπλάσιος, εἶτα πενταπλάσιος, καὶ κατὰ τὴν προεπιγνωσθεῖσαν ἡμῖν τάξιν ἐπ' ἄπειρον· δεύτερος δὲ ἐπιμόριος, καὶ τούτου πάλιν ἡγήσεται τὸ πρώτιστον εἶδος ἡμιόλιος, ἐπὶ τούτῳ δὲ τὸ μετ' αὐτὸν ἐπίτριτος, ἐπὶ δὲ τούτοις ὁ τάξει ἑξῆς ἐπιτέταρτος, εἶτα ἐπίπεμπτος καὶ

ἕφεκτος, καὶ ἀνὰ λόγον μέχρις ἀπείρου· τρίτον δὲ τὸ ἐπιμερές, καὶ πάλιν αὐτοῦ τούτου ἐπιδιμερὲς μὲν ἡγήσεται, ἕψεται δ' εὐθὺς ἐπὶ τούτῳ τὸ ἐπιτριμερές, εἶτα τὸ ἐπιτετραμερές, καὶ εὐθὺς τὸ ἐπιπενταμερές, καὶ μέχρις ἂν προχωρῇ τις ἀκολουθῶν τοῖς ἔμπροσθεν. Προστάγματα οὖν τινὰ δεῖ ἔχειν, οἷον νόμους φυσικοὺς ἀπαρεγκλίτους καὶ ἀπαραβάτους, οἷς πᾶσα ἡ προληφθεῖσα πρόβασις καὶ προχώρησις ἀπὸ τῆς ἰσότητος εὐοδώσει μὴ λειποτακτουμένη· τὰ δὲ προστάγματα ταῦτά ἐστι, πρῶτον πρώτῳ ἴσον ποιῆσαι, δεύτερον δὲ πρώτῳ ἅμα καὶ δευτέρῳ, τρίτον δὲ πρώτῳ καὶ τοῖς δυσὶ δευτέροις ἅμα καὶ τρίτῳ· γένοιτο γὰρ ἂν μετὰ τούτων τῶν νόμων πλάσσοντί σοι εὐθὺς μὲν τὰ τοῦ πολλαπλασίου ἅπαντα εἴδη τάξει, ἐκ τῶν τῆς ἰσότητος ἐκκειμένων τριῶν ὅρων οἷον βλαστάνοντα καὶ ἐκφυόμενα, σοῦ μηδὲν ἐπιτηδεύοντος μηδὲ συλλαμβάνοντος· καὶ ἐκ μὲν τῆς ἰσότητος εὐθὺς τὸ διπλάσιον, ἐκ δὲ τοῦ διπλασίου εὐθὺς τὸ τριπλάσιον, ἐκ δὲ τοῦ τριπλασίου ἑξῆς τὸ
37 τετραπλάσιον, καὶ ἐκ τούτου τὸ πενταπλάσιον, εὐτάκτως οὖν καὶ τοῦτο μέχρις ἀεί. Ἐκ δὲ αὐτῶν τούτων τῶν εὐτάκτως πολλαπλασίων ἀναστραφέντων εὐθὺς γεννῶνται φύσει τινὶ ἀναγκαίᾳ διὰ τῶν αὐτῶν τριῶν προσταγμάτων οἱ ἐπιμόριοι, καὶ οὗτοι οὐχ ὡς ἔτυχεν οὐδὲ ἀτάκτως, ἀλλὰ τῇ προσηκούσῃ ἀκολουθίᾳ· ἐκ μὲν τοῦ πρώτου διπλασίου ἀναστραφέντος ὁ πρῶτος ἡμιόλιος, ἐκ δὲ τοῦ δευτέρου τριπλασίου ὁ ἐν ἐκείνοις δεύτερος ἐπίτριτος, εἶτα ἐπιτέταρτος ἐκ τετραπλασίου, καὶ ἁπλῶς ἕκαστος ἀπ' ἐκείνου, οὗ παρώνυμός ἐστιν. Ἀπὸ δὲ ἄλλης ἀρχῆς, αὐτῶν τῶν ἐπιμορίων ἐκκειμένων, ὥσπερ καὶ ἀνεφύησαν, ἀναστρόφως μέντοι, γεννῶνται οἱ φύσει μετ' αὐτοὺς ἐπιμερεῖς· ἀπὸ μὲν τοῦ ἡμιολίου ἐπιδιμερής, ἀπὸ δὲ τοῦ ἐπιτρίτου ἐπιτριμερής, καὶ ἐπιτετραμερὴς ἐκ τοῦ ἐπιτετάρτου, καὶ ἐπ' ἄπειρον τῇ αὐτῇ ἀναλογίᾳ. Μὴ ἀναστρεφομένων δέ, ἀλλ'

ὀρθῶς ἐκκειμένων τῶν εὐτάκτων ἐπιμορίων, γεννῶνται διὰ τῶν αὐτῶν προσταγμάτων οἱ πολλαπλασιεπιμόριοι· διπλασιεφήμισυς μὲν ἐκ τοῦ πρώτου ἡμιολίου, διπλασιεπίτριτος δὲ ἐκ τοῦ δευτέρου ἐπιτρίτου, διπλασιεπιτέταρτος δὲ ἐκ τοῦ τρίτου ἐπιτετάρτου, καὶ ἀεὶ οὕτως. Ἐκ δὲ τῶν ἐξ ἀναστροφῆς τῶν ἐπιμορίων γεννηθέντων, τουτέστι, τῶν ἐπιμερῶν καὶ τῶν μὴ ἐξ ἀναστροφῆς, τουτέστι, πολλαπλασιεπιμορίων πάλιν τῷ αὐτῷ τρόπῳ διὰ τῶν αὐτῶν προσταγμάτων ἀπογεννῶνται ὀρθῶς τε κειμένων καὶ ἀναστρεφομένων οἱ τὰς λοιπὰς σχέσεις ἐμφαίνοντες ἀριθμοί. Πάντων δὲ τῶν προειρημένων, γενέσεώς τε αὐτῶν καὶ τάξεως, ὀρθότητός τε καὶ ἀναστροφῆς ὑποδείγματα ἀρκείτω ἡμῖν πρὸς ὑπόμνησιν τὰ τοσαῦτα. Ἐκ μὲν τῆς ἐν ἡμιολίοις σχέσεως καὶ ἀναλογίας ἀνεστραμμένης μὲν ἐκ τοῦ μείζονος ὅρου συνίσταται σχέσις ἐν ἐπιμερέσι λόγοις ἐπιδίτριτος, ἀπὸ δὲ τοῦ ἐλάττονος κειμένης ὀρθῶς πολλαπλασιεπιμόριος ἤτοι διπλασιεφήμισυς, ὡς ἀπὸ τοῦ θ', στ', δ', ἤτοι θ', ιέ, κέ, ἢ δ', ι', κέ, ἐκ δὲ τῆς ἐν ἐπιτρίτοις ἀπὸ μὲν τοῦ μείζονος ἐπιμερὴς ἤτοι ἐπιτριτέταρτος, ἀπὸ δὲ τοῦ ἐλάττονος διπλασιεπίτριτος, ὡς ἐκ τοῦ ιστ', ιβ', θ', ἤτοι ιστ', κή, μθ', ἢ θ', κά, μθ'· ἐκ δὲ τῆς ἐν ἐπιτετάρτοις ἀπὸ μὲν τοῦ ὑπερέχοντος ἐπιμερὴς ἤτοι ἐπιτετράπεμ- 38
πτος, ἐκ δὲ τοῦ ἐλάττονος πολλαπλασιεπιμόριος ἤτοι διπλασιεπιτέταρτος, ὡς ἐκ τοῦ κέ, κ', ιστ', ἢ κέ, με, πά, ἢ ιστ', λστ', πά. Ἐπὶ πασῶν δὲ τῶν ἐκκειμένων σχέσεων, τῶν διαζευχθεισῶν καὶ ἀφ' ἧς ἀμφότεραι, πάντες οἱ ἄκροι τετράγωνοί εἰσιν, οἱ δὲ μέσοι ἐκ τῶν πλευρῶν αὐτῶν ἐπαλλήλων γίνονται· καὶ ὁ μὲν πρῶτος τῆς ἀπογεννώσης εἰς τὸν ἐλάττονα τῆς γεννωμένης μεταβαίνει, ἐν ἀμφοτέραις δὲ ταῖς γεννηθείσαις ὁ ἔσχατος καὶ μείζων τετράγωνος ὁ αὐτὸς ἐστίν. Ἀλλὰ μὴν καὶ ἑτέρως ἐκ τῶν ἐπιμερῶν οἱ πολλαπλασιεπιμερεῖς καὶ ἑτερογενεῖς ἐπιμερεῖς

ἀναφαίνονται, οἷον ἐκ μὲν τῆς ἐπιδιτρίτου ἀπὸ μὲν τοῦ ἐλάττονος ὅρου ἡ διπλασιεπιδίτριτος, ἐκ δὲ τοῦ μείζονος ἡ ἐπιτρίπεμπτος, ὡς ἐκ τοῦ θ', ιέ, κέ, ἢ θ', κδ', ξδ', ἢ κέ, μ', ξδ'· ἐκ δὲ τῆς ἐπιτριτετάρτου ἐκ μὲν τοῦ μικροτέρου ἡ διπλασιεπιτριτέταρτος, ἐκ δὲ τοῦ μείζονος ἡ ἐπιτετραέβδομος, ὡς ἐπὶ τῆς ιστ', κή, μθ', ἢ ιστ', μδ', ρκά, ἢ μθ', οζ', ρκά. Πάλιν δὲ ἐκ τῆς ἐπιτετραπέμπτου, οἷον τῆς κέ, με', πά, ἀπὸ μὲν τοῦ ἐλάττονος ἡ διπλασιεπιτετράπεμπτος, οἷον κέ, ό, ρσστ', ἀπὸ δὲ τοῦ μείζονος πάλιν ἐπιμερὴς ἤτοι ἐπιπεντέννατος, οἷον πά, ρησ', ρσστ', καὶ κατὰ τὸ ἑξῆς ἐπ' ἄπειρον ἀνάλογα καὶ εὐάρμοστα εὑρήσεις.

---

59 Νικομάχου Γερασηνοῦ ἀριθμητικῆς εἰσαγωγῆς φῶν εἰς δύο τὸ δεύτερον

ά. Ἐπειδὴ στοιχεῖον λέγεται καὶ ἔστιν, ἐξ οὗ πρωτίστου συνίσταταί τι καὶ εἰς ὃ ἔσχατον ἀναλύεται (οἷον γράμματα μὲν τῆς ἐγγραμμάτου φωνῆς στοιχεῖα λέγεται, ἐξ αὐτῶν τε γὰρ ἡ σύστασις τῆς συμπάσης ἐνάρθρου φωνῆς καὶ εἰς αὐτὰ ἔσχατα ἀναλύεται· φθόγγοι δὲ μελῳδίας πάσης, ἀφ' ὧν ἄρχεται συγκρίνεσθαι καὶ εἰς οὓς ἀναλύεται· κοινῇ δὲ τὰ λεγόμενα τοῦ κόσμου στοιχεῖα τέσσαρα ἁπλῶς ὑπάρχει σώματα, πῦρ, ὕδωρ, ἀήρ, γῆ· ἐκ γὰρ πρωτίστων αὐτῶν ἡ σύστασις τοῦ παντὸς φυσιολογεῖται, καὶ εἰς αὐτὰ ἔσχατα ἐπινοεῖται ἡ ἀνάλυσις), ἀποδεῖξαι δὲ βουλόμεθα, ὅτι καὶ ἡ ἰσότης στοιχεῖόν ἐστι τοῦ πρός τι ποσοῦ· τοῦ γὰρ ἁπλῶς καὶ καθ' ἑαυτὸ ποσοῦ μονὰς ἦν καὶ δυὰς

τὰ ἀρχικώτατα στοιχεῖα, ἐξ ὧν ἐλαχίστων ἐπ' ἄπειρον ἀεὶ συνίσταται καὶ αὔξεται καὶ ἐπὶ τὸ μεῖον ἀναλυόμενον ἵσταται. Ἀλλὰ τὴν μὲν ἐπὶ τῆς ἀνεσότητος προκοπὴν καὶ ἐπαύξησιν ἀπεδείξαμεν ἀπὸ τῆς ἰσότητος γινομένην ἐπὶ πάσας ἁπλῶς τὰς σχέσεις μετά τινος εὐταξίας διὰ τῶν τριῶν προσταγμάτων· λοιπὸν δ', ἵνα ὡς ἀληθῶς στοιχεῖον ᾖ, ἀποδεικνύειν, ὅτι καὶ αἱ ἀναλύσεις ἐπ' αὐτὴν ἐσχάτην περαιοῦνται. Ἔφοδον οὖν ἰστέον τοιαύτην καθολικῶς.

β'. Δοθέντων σοι τριῶν ὅρων ἐν ἠτινιοῦν σχέσει καὶ ἀναλογίᾳ, εἴτε πολλαπλασίῳ, εἴτε ἐπιμορίῳ, εἴτε ἐπιμερεῖ, εἴτε συνθέτῳ ἀπὸ τούτων πολλαπλασιεπιμορίῳ ἢ πολλαπλασιεπιμερεῖ, μόνον ἵνα ἐν τῷ αὐτῷ λόγῳ ὁ μέσος πρὸς τὸν ἐλάττονα θεωρῆται, ἐν ᾧ ὁ μείζων πρὸς τὸν μέσον ἢ ἀνάπαλιν, ἀεὶ τὸν ἐλάττονα ἀφαίρει ἀπὸ τοῦ μέσου, ἐάν τε πρῶτος ᾖ κείμενος ἐάν τε ἔσχατος, καὶ τίθει αὐτὸν μὲν τὸν ἐλάττονα πρῶτον ὅρον, τὸν δὲ λειφθέντα ἀπὸ τοῦ δευτέρου μετὰ τὴν ἀφαίρεσιν δεύτερον τάσσε ὅρον, ἑνὸς δὲ τοιούτου πρώτου καὶ δύο τοιούτων δευτέρων ἀφαιρεθέντων ἀπὸ τοῦ λοιποῦ, τουτέστιν, ἀπὸ τοῦ μείζονος τῶν δοθέντων σοι, τὸ λειπόμενον ποίει τρίτον ὅρον, καὶ ἔσονται αἱ γινόμεναι ἐν ἄλλῃ τινὶ σχέσει προγενεστέρᾳ κατὰ φύσιν. Πάλιν δὲ ἐπ' αὐτῶν τούτων τῷ αὐτῷ τρόπῳ ἂν ἀφέλῃς ἀπὸ τῶν αὐτῶν ὅρων τὸ λειπόμενον, οἱ τρεῖς ὅροι ἀναπεποθισμένοι σοι εὑρεθήσονται εἰς πυθμενικωτέρους ἄλλους τρεῖς, καὶ τοῦτο ἀεὶ ἀκόλουθον εὑρήσεις γινόμενον, μέχρις ἂν εἰς ἰσότητα ἀναχθῶσιν· ἐξ οὗ πᾶσα ἀνάγκη δηλονότι ἀποφαίνεσθαι, τὴν ἰσότητα στοιχεῖον τοῦ πρός τι ποσοῦ πάντως εἶναι. Παρέπεται δὲ τῇ τοιαύτῃ θεωρίᾳ ἐμμουσότατόν τι θεώρημα καὶ χρησιμώτατον εἴς τε τὴν Πλατωνικὴν ψυχογονίαν καὶ εἰς τὰ ἁρμονικὰ διαστήματα πάντα· κελευόμεθα

γὰρ ἐκεῖ πυκνῶς λόγου χάριν ἀποστῆσαι ἐφεξῆς δύο ἡμιολίους λόγους ἢ τρεῖς ἢ τέσσαρας ἢ πέντε ἢ ἐπ' ἄπειρον, ἢ δύο ἐπιτρίτους ἢ ἐπιτετάρτους ἢ ἐπογδόους ἢ οἵους δήποτε ἐπιμορίους, καὶ καθ' ἕκαστον αὐτῶν ἢ τρεῖς ἢ τέσσαρας ἢ πέντε ἢ μέχρις ὅσου τις προστάσσει. Εὔλογον δή ἐστι, μὴ ἰδιωτικῶς καὶ ἀνεπιστημόνως, ἔστι δ' ὅτε καὶ διημαρτημένως τὸ τοιοῦτον ποιεῖν, ἀλλ' ἐντέχνως τε καὶ ἀπταίστως καὶ τάχιστα ἐφόδῳ τοιαύτῃ.

[*Μέθοδος, ὅπως δεῖ ἐκ τῶν πολλαπλασίων τοὺς ἐπιμορίους εὑρίσκειν.*]

γ'. Ἅπας πολλαπλάσιος τοσούτων ἐπιμορίων ἡγήσεται λόγων ἀντιπαρωνύμων αὐτῷ, ὁπόστος ἂν αὐτὸς ὢν τυγχάνῃ ἀπὸ μονάδος, οὔτε δὲ πλειόνων οὔτε ἐλαττόνων οὐδεμιᾷ μηχανῇ. Διπλάσιοι μὲν οὖν ἡμιολίους φύσουσιν, ὁ πρῶτος ἕνα, ὁ δεύτερος δύο, ὁ τρίτος τρεῖς, ὁ τέταρτος τέσσαρας, ὁ πέμπτος πέντε, ὁ ἕκτος ἕξ, καὶ οὔτε πλείονας οὔτε ἐλάττονας, ἀλλ' ἐξ ἀνάγκης πάσης, ὅταν τὴν σύμμετρον ποσότητα ἀπολάβωσιν οἱ γεννηθέντες ἐπιμόριοι ἰσάριθμοι γενόμενοι τοῖς γεννήσασι πολλαπλασίοις, τότε δὴ ἔκ τινος δαιμονίας μηχανῆς εὑρίσκεται ὁ πάντας περαίνων ἀριθμός, ἀνεπίδεκτος ὢν φύσει ἐκείνου τοῦ μορίου, καθ' ὃ προέκοπτον οἱ ἐπιμόριοι· ἀπὸ δὲ τῶν τριπλασίων οἱ
41 ἐπίτριτοι πάντες προκόψουσι, καὶ αὐτοὶ ἰσάριθμοι τοῖς γεννῶσι γινόμενοι καὶ περαινόμενοί γε μετὰ τὴν αὐτάρκειαν τῆς προκοπῆς εἰς ἀριθμοὺς μὴ ἐπιδεκτικοὺς τρίτου· καὶ ἐπιτέταρτοι δὲ κατὰ ταυτὸν ἐκ τετραπλασίων ἐπικορύφωσιν λαμβάνοντες εἰς ἀριθμὸν μετὰ τὴν αὐτάρκη πρόβασιν, τετάρτου μὴ ἐπιδεκτικόν. Οἷον διπλασίων μὲν ὑποδείγματος χάριν ἰσαρίθμους γεννώντων ἡμιολίους, ὁ μὲν ἄνω στίχος ἔσται πολλαπλασίων ὁ πρῶτος α, β, δ, ιστ, λβ, ξδ, ρκή· ἐπεὶ δὲ πρῶτός ἐστιν ὁ δύο μετὰ

τὴν μονάδα, ἑνὸς κατάρξει οὗτος ἡμιολίου μόνου τοῦ γ', ὅστις ἡμίσους ἐπιδεκτικὸς οὐκ ἔστιν, ἵνα καὶ ἄλλος ἀπ' αὐτοῦ γένηται ἡμιόλιος· ὁ πρῶτος ἄρα διπλάσιος ἑνὸς μόνου γεννητικός ἐστιν ἡμιολίου, ὁ δὲ δεύτερος ὁ δ' δυοῖν γεννητικὸς ἡμιολίοιν, αὐτοῦ μὲν γὰρ ὁ στ', τοῦ δὲ στ' ὁ θ', τοῦ δὲ θ' οὐκ ἔστιν ἄλλος· ἥμισυ γὰρ οὐκ ἔχει· ὁ δὲ ή, τρίτος ὢν διπλάσιος, τριῶν ἡμιολίων ἐστὶ πατήρ, ἑνὸς μὲν τοῦ ιβ' πρὸς ἑαυτόν, ἑτέρου δὲ τοῦ ιή πρὸς τὸν ιβ', τρίτου δὲ τοῦ κζ' πρὸς τὸν ιή, τετάρτου δὲ οὐκέτι διὰ τὸ καθολικόν· ὁ γὰρ κζ' ἥμισυ οὐκέτι ἐπιδέχεται· ὁ δὲ ισ', τέταρτος ὢν διπλάσιος, τεσσάρων ἡγήσεται ἡμιολίων, τοῦ τε κθ' καὶ τοῦ λσ' καὶ τοῦ νδ' καὶ τοῦ πά τοῦ τελευταίου, ἵνα ἰσάριθμοι ἀναγκαίως ὦσι τῷ γεννήσαντι ισ'· ὁ γὰρ πά οὐκέτι ἥμισυ φύσει ἐπιδέχεται· καὶ τοῦτο μέχρις ἀπείρου προϊὼν ἀνάλογον εὑρήσεις.

δ'. Οἷον ὑποδείξεως ἕνεκα γεγράφθω οὕτως διπλασίου διάγραμμα. Καὶ τριπλασίου δὲ ὑπόδειγμα παραπλήσιον διαγράφειν δεῖ· ἐν ᾧ κατὰ ταυτὰ ὀψόμεθα τὸν μὲν πρῶτον τὸν γ' ἑνὸς μόνου ἐπιτρίτου ἡγούμενον λόγου τοῦ δ' πρὸς αὐτόν, ὅστις ἀποκλείσει εὐθὺς ἑτέρου γένεσιν ὁμοίου· τρίτον γὰρ οὐκ ἐπιδέχεται ὁ δ'· οὐκ ἄρα οὐδ' ἐπίτριτον ἔξει· δεύτερος δὲ τριπλάσιός ἐστιν ὁ θ'· διὰ τοῦτο δυοῖν μόνων ἐπιτρίτων κατάρξει λόγων, τοῦ τε ιβ' πρὸς αὐτόν, καὶ τοῦ ισ' πρὸς τὸν ιβ'· ὁ δὲ ισ' ἀνακόπτει τὴν πρόβασιν λοιπόν· τρίτου γὰρ οὐκ ἔστιν ἐπιδεκτικός, διόπερ οὐδὲ ἐπίτριτόν τινα ἔχει ἐν ἑαυτῷ· ἑξῆς δὲ τέτακται τριπλάσιος ὁ κζ', ἐν τρίτῃ ἀπὸ μονάδος χώρᾳ, τριπλασίων προχωρούντων α, γ, θ, κζ· διὰ τοῦτο τριῶν μόνων κατάρξει καὶ αὐτὸς ἐπιτρίτων λόγων, πλειόνων δὲ οὐδαμῶς· αὐτοῦ μὲν γὰρ πρῶτος ὁ λσ', 42
τούτου δὲ δεύτερος ὁ μή, τρίτος δὲ τούτου ὁ ξθ',

ὃς οὐκέτι τρίτον μέρος ἔχει, διὸ οὐδ' ἐπιτρίτου δεκτικός· καὶ ὁ τέταρτος τεσσάρων ἡγεμὼν ἔσται λόγων, καὶ ὁ πέμπτος δηλονότι πέντε. Τὸ δὲ ὑπόδειγμα τοιοῦτον· καὶ ἐπὶ τῶν λοιπῶν δὲ πολλαπλασίων ὁ αὐτὸς τῶν διαγραμμάτων ἔστω σοι τρόπος παρατηροῦντι, ὅτι καὶ ἐνταῦθα ἡ φύσις, ὥσπερ καὶ ἐν τοῖς προτεχνολογηθεῖσιν εὕρομεν, προγενεστέρους ἡμῖν παρεμφαίνει διπλασίους μὲν τριπλασίων, τριπλασίους δὲ τετραπλασίων, τούτους δὲ πενταπλασίων, καὶ ἀεὶ οὕτω μέχρι παντός· οἱ μὲν γὰρ ἐπὶ πλάτος στίχοι οἱ ἀνωτάτω, ἐὰν ὦσι διπλάσιοι, ὁμοίως ἕξουσι τοὺς ὑπ' αὐτοὺς παραλλήλους κειμένους, τοὺς δὲ ὑποτείνοντας διαγωνίους τοῦ αὐτοῦ γένους τὸ συνεχὲς καὶ μονάδι μεῖζον εἶδος, ὅ ἐστι, τριπλασίους, ἐν παραλλήλῳ ἐξετάσει θεωρουμένους· εἰ δ' οἱ ἐπὶ πλάτος εἶεν τριπλάσιοι, πάντως οἱ διαγώνιοι ἔσονται τετραπλάσιοι, εἰ δὲ ἐκεῖνοι τετραπλάσιοι, εὐθὺς οὗτοι πενταπλάσιοι, καὶ τοῦτο μέχρις ἀεί.

ε'. Λοιπὸν δέ, προσαφηνίσαντας τὰς τῶν λόγων συνθέσεις, τίνων ἑτέρων ἀποδοτικαί εἰσι, μεταβῆναι ἐπὶ τὰ τῆς εἰσαγωγῆς ἀκόλουθα. Οἱ πρῶτοι τοίνυν τοῦ ἐπιμορίου δύο λόγοι συλληφθέντες εἰς τὸ αὐτὸ γεννῶσι τὸν τοῦ πολλαπλασίου πρῶτον λόγον, τουτέστι, τὸν διπλάσιον· πᾶς γὰρ διπλάσιος σύστημα ἔσται ἡμιολίου καὶ ἐπιτρίτου, καὶ πᾶς ἡμιόλιος καὶ ἐπίτριτος συντεθέντες ἀποδοτικοὶ ἑνὸς διπλασίου πάντως ἔσονται· οἷον ἐπεὶ ὁ γ' ἡμιόλιος τοῦ β', ὁ δὲ δ' ἐπίτριτος τοῦ γ', ἔσται τοῦ β' ὁ δ' διπλάσιος, σύνθετος ὢν ἐξ ἡμιολίου καὶ ἐπιτρίτου· καὶ πάλιν ἐπεὶ ὁ στ' διπλάσιός ἐστι τοῦ γ', εὑρήσομεν ἀνὰ μέσον αὐτῶν ἀριθμόν τινα τεταγμένον, ὃς ἐξ ἀνάγκης πρὸς μὲν τὸν ἕτερον τὸν ἐπίτριτον σώζει λόγον, πρὸς δὲ τὸν λοιπὸν τὸν ἡμιόλιον· ὁ γοῦν δ' ἀνὰ μέσον κείμενος τοῦ στ' καὶ τοῦ γ', πρὸς μὲν τὸν γ' ἀποδί-

δωσι λόγον ἐπίτριτον, πρὸς δὲ τὸν στ΄ τὸν ἡμιόλιον. Ὀρθῶς ἄρα ἐλέχθη, διαλυόμενον μὲν τὸν διπλάσιον εἰς ἡμιόλιον καὶ ἐπίτριτον διαλύεσθαι, συντεθειμένων δὲ πάντως ἡμιολίου καὶ ἐπιτρίτου, μόνον συνίστασθαι διπλάσιον, καὶ τὰ τοῦ ἐπιμορίου δύο πρώτιστα εἴδη συντεθέντα ποιητικὰ εἶναι τοῦ τῶν 43
πολλαπλασίων πρωτίστου εἴδους. Πάλιν δὲ ἐξ ἄλλης ἀρχῆς τὸ γεννηθὲν τοῦτο τοῦ πολλαπλασίου πρώτιστον εἶδος μετὰ τοῦ πρώτου τῶν ἐπιμορίων εἴδους ἀποδοτικὸν γίνεται τοῦ ὁμογενοῦς αὐτῶν συνεχοῦς εἴδους, τουτέστι, τοῦ δευτέρου πολλαπλασίου, ὅ ἐστι, τριπλασίου· ἐκ γὰρ παντὸς διπλασίου καὶ ἡμιολίου συντεθέντων τριπλάσιον ἐξ ἀνάγκης φύεται· οἷον ἐπεὶ τοῦ στ΄ διπλάσιος ὁ ιβ΄, αὐτοῦ δὲ τούτου ἡμιόλιος ὁ ιή, εὐθὺς καὶ τριπλάσιος ὁ ιή τοῦ στ΄· καὶ ἑτέρῳ τρόπῳ ἐὰν μὴ τὸν ιβ΄ θέλω μέσον ποιεῖν, ἀλλὰ μᾶλλον τὸν τοῦ στ΄ ἡμιόλιον τὸν θ΄, τὸ αὐτό μοι ἀπαράλλακτον καὶ σύμφωνον συμβήσεται· τοῦ γὰρ θ΄ ὁ ιή διπλάσιος ὢν τὸν τριπλάσιον λόγον σώσει πρὸς τὸν στ΄· ἐξ ἡμιολίου ἄρα καὶ διπλασίου, πρώτων εἰδῶν ἐπιμορίου καὶ πολλαπλασίου, συνίσταται μιγέντων τὸ δεύτερον εἶδος τοῦ πολλαπλασίου, τὸ τριπλάσιον, καὶ εἰς αὐτὰ δὲ πάντως ἀναλύεται. Ἰδοὺ γὰρ ὁ στ΄ τοῦ β΄ τριπλάσιος ὢν ἕξει μέσον τὸν γ΄, ὃς δύο λόγους παραδείξει, τὸν μὲν ἡμιόλιον πρὸς τὸν β΄, πρὸς ἑαυτὸν δὲ διπλάσιον τὸν τοῦ στ΄· ἐὰν δὲ καὶ ὁ τριπλάσιος οὗτος, δεύτερον εἶδος ὢν τοῦ πολλαπλασίου, συντεθῇ ἐπιτρίτῳ, δευτέρῳ εἴδει ὄντι τοῦ ἐπιμορίου, γένοιτ᾽ ἂν ἐξ ἀμφοτέρων τὸ συνεχὲς τοῦ πολλαπλασίου εἶδος, τουτέστι, τὸ τετραπλάσιον (τριπλάσιος δὲ ὁ στ΄ τοῦ β΄, ἐπίτριτος ὁ ή τοῦ στ΄, ὁ ή ἄρα τοῦ β΄ τετραπλάσιος)· ὃ καὶ ἀναγκαίως εἰς ἀμφότερα ἀναλυθήσεται κατὰ τὴν αὐτὴν τοῖς προδεδηλωμένοις φύσιν· τὸ δὲ τετραπλάσιον προσλαβὸν τὸ ἐπιτέ-

ταρτον, ποιητικὸν ἔσται τοῦ πενταπλασίου, κ
πάλιν ἐκεῖνο σὺν τῷ ἐπιπέμπτῳ τοῦ ἑξαπλασίο
καὶ τοῦτο μέχρι παντός, ἵνα εὔτακτοι οἱ ἐξ ἀρχῆ
πολλαπλάσιοι μετὰ εὐτάκτων τῶν ἐξ ἀρχῆς ἐπι
μορίων ἀποδοτικοὶ εὑρίσκωνται τῶν ἐπὶ τὸ μεῖζο
συνεχῶν πολλαπλασίων· διπλάσιος μὲν γὰρ μεθ
ἡμιολίου τριπλασιότητος ποιητικός, τριπλάσιος δ
μετ' ἐπιτρίτου τετραπλασιότητος, τετραπλάσιο
δὲ μετὰ ἐπιτετάρτου πενταπλασιότητος, καὶ ἑξ
ἂν προχωρεῖν θέλῃς, οὐδὲν ὑπεναντίον σοι συμ-
44 βαῖνον φανεῖται.

στ'. Μέχρι μὲν οὖν τοῦδε ἱκανῶς περὶ τοῦ πρὸς ἕτερόν πως ἔχοντος ποσοῦ διειλέγμεθα, συμμετρησάμενοι κατ' ἐκλογὴν τὰ προσήκοντα καὶ ἐμπερίληπτα τῇ τῶν ἄρτι εἰσαγομένων ἕξει· τὰ γὰρ εἰς τὸν τόπον τοῦτον ὑπόλοιπα προσπληρωθήσεται, διαλιπόντων πάλιν ἡμῶν καὶ προτεχνολογησάντων ἕτερά τινα προὐργιαιτέραν τὴν σκέψιν ἔχοντα ἐκ τῶν συμβεβηκότων τῷ καθ' ἑαυτὸ ποσῷ καὶ μὴ τῷ πρὸς ἕτερόν πως ἔχοντι· ἀεὶ γὰρ δι' ἀλλήλων φιλεῖ πως διαρθροῦσθαι καὶ σαφηνίζεσθαι τὰ ἐν τοῖς μαθήμασι θεωρήματα· ἃ δὲ χρὴ προεπισκοπῆσαι καὶ προθεάσασθαι, ἔστι περί τε γραμμικῶν ἀριθμῶν, καὶ ἐπιπέδων καὶ στερεῶν, πυβικῶν τε καὶ σφαιρικῶν, καὶ ἰσοπλεύρων καὶ σκαληνῶν, πλινθίδων τε καὶ δοκίδων, καὶ σφηκίσκων καὶ τῶν ὁμοίων, ἃ δὴ ἰδίως μὲν ἐν τῇ γεωμετρικῇ παραδίδοται εἰσαγωγῇ, τοῦ πηλίκου οἰκειότερα ὄντα, σπερματικώτερον δὲ προσλαμβάνεται ἐν τῇ ἀριθμητικῇ ὡσὰν μητρὶ καὶ ἀρχεγονωτέρᾳ ἐκείνης· μεμνήμεθα γάρ, ὅτι πρὸ βραχέος τοιαύτη ἡμῖν ἐφάνη συναναιροῦσα μὲν τὰς ἄλλας ἑαυτῇ ἐπιστήμας, οὐ συναναιρουμένη δὲ ἐκείναις, καὶ ἔμπαλιν συνεπιφερομένη μὲν ἐκείναις ἀναγκαίως, οὐ συνεπιφέρουσα δὲ αὐτὰς ἑαυτῇ. Πρότερον δὲ ἐπιγνωστέον, ὅτι ἕκαστον γράμμα, ᾧ σημειούμε-

θα ἀριθμόν, οἷον τὸ ι, ᾧ τὰ δέκα, τὸ κ, ᾧ τὰ εἴκοσι, τὸ ω, ᾧ τὰ ὀκτακόσια, νόμῳ καὶ συνθήματι ἀνθρωπίνῳ, ἀλλ' οὐ φύσει σημαντικόν ἐστι τοῦ ἀριθμοῦ, ἡ δὲ φυσικὴ καὶ ἀμέθοδος καὶ διὰ τοῦτο ἁπλουστάτη σημείωσις τῶν ἀριθμῶν εἴη ἂν ἡ τῶν μονάδων τῶν ἐν ἑκάστῳ οὐσῶν παράλληλος ἔκθεσις· οἷον μιᾶς μὲν μονάδος γραφὴ διὰ τοῦ ἑνὸς α σημεῖον ἔσται τοῦ ἑνός, δυοῖν δὲ μονάδων παραλλήλων, τουτέστι, δυοῖν ἄλφα ἔκθεσις σημεῖον ἔσται τῆς δυάδος, τριῶν δὲ ἐπ' εὐθείας παραλλήλων κειμένων, τριάδος ἔσται χαρακτήρ, καὶ τεσσάρων ἐπ' εὐθὺ τεταγμένων, τετράδος, καὶ πέντε, πεντάδος, καὶ ἀεὶ οὕτως· διὰ γὰρ τῆς τοιαύτης γραφῆς καὶ σημάνσεως ἡ τῶν φρασθησομένων ἐπιπέδων τε καὶ στερεῶν σχηματογραφία τρανωθῆναι δύναιτ' ἂν μόνως καὶ σαφηνισθῆναι, οἷον μονὰς μὲν α, δυὰς δὲ αα, τριὰς δὲ ααα, τετρὰς δὲ αααα, πεντὰς δὲ ααααα, καὶ εἰς πλείονα ἀεὶ ἀναλόγως. Ἔσται οὖν ἡ μὲν μονὰς σημείου λόγον ἐπέχουσα καὶ τόπον, ἀρχὴ μὲν διαστημάτων καὶ ἀριθμῶν, οὔπω δὲ διάστημα οὐδὲ ἀριθμός, ὡς τὸ σημεῖον ἀρχὴ μὲν γραμμῆς καὶ διαστήματος, οὔπω δὲ γραμμὴ οὐδὲ διάστημα· ἀμέλει οὔτε σημεῖον σημείῳ συντεθὲν πλέον τι ποιεῖ· ἀδιάστατον γὰρ ἀδιαστάτῳ συντεθὲν διάστημα οὐχ ἕξει, ὥσπερ εἴ τις τὸ οὐδὲν οὐδενὶ συντεθὲν σκέπτοιτο· οὐδὲν γὰρ ποιεῖ· καὶ ταυτὰ γὰρ ἐφαίνετο καὶ ἐπὶ τῆς ἰσότητος ἡμῖν ἐν ταῖς σχέσεσι· σώζεται μὲν γὰρ ἡ ἀναλογία, ὡς ὁ πρῶτος πρὸς τὸν δεύτερον, ὁ δεύτερος πρὸς τὸν τρίτον, οὐ μὴν διάστημά τι γεννᾶται τοῖς ἄκροις πρὸς ἀλλήλους, ὥσπερ ἐπὶ τῶν ἄλλων τῶν χωρὶς ἰσότητος σχέσεων πασῶν· τὸν αὐτὸν δὴ τρόπον καὶ μονὰς ἐκ παντὸς μόνη τοῦ ἀριθμοῦ ἑαυτὴν πολλαπλασιάσασα οὐδὲν πλέον ἑαυτῆς γεννᾷ· ἀδιάστα-

τος ἄρα ἡ μονὰς καὶ ἀρχοειδής, πρῶτον δὲ διά
στημα εὑρίσκεται καὶ φαίνεται ἐν δυάδι, εἶτα ἐ
τριάδι, εἶτα ἐν τετράδι, καὶ ἑξῆς ἐν τοῖς ἀκο
λούθοις· διάστημα γάρ ἐστι δυοῖν ὅρων τὸ μετα
ξὺ θεωρούμενον. Πρῶτον δὲ διάστημα γραμμ
λέγεται· γραμμὴ γάρ ἐστι τὸ ἐφ' ἓν διαστατόν
δύο δὲ διαστήματα ἐπιφάνεια· ἐπιφάνεια γάρ ἐστ
τὸ διχῇ διαστατόν· τρία δὲ διαστήματα στερεόν
στερεὸν γάρ ἐστι τὸ τριχῇ διαστατόν, καὶ οὐ
ἔστιν οὐδαμῶς ἐπινοεῖν στερεόν, ὃ πλειόνων τέ-
τευχε διαστημάτων ἢ τριῶν, μήκους, πλάτους
καὶ βάθους· τούτοις γὰρ αἱ λεγόμεναι περὶ πᾶ
σῶμα ὑπάρχειν ἓξ περιστάσεις ὁρίζονται, καθ' ἃς
αἱ κατὰ τόπον κινήσεις διακρίνονται, πρόσω, ὀπί-
σω, ἄνω, κάτω, δεξιά, ἀριστερά· ἑκάστῳ γὰρ
δικστήματι δύο ἐξ ἀνάγκης περιστάσεις παρέπον-
ται ἀλλήλαις ἀντίθετοι, ἑνὶ μὲν αἱ ἄνω καὶ κά-
τω, ἑτέρῳ δὲ αἱ πρόσω καὶ ὀπίσω, τῷ τρίτῳ δὲ
αἱ ἐπὶ δεξιᾷ καὶ ἀριστερᾷ. Καὶ συμβαίνει πως
οὕτως ἀναστρέφειν τὸν λόγον· εἴ τι γὰρ στερεόν
ἐστιν, ἐκεῖνο τὰς τρεῖς διαστάσεις πάντως ἔχει,
μῆκος, πλάτος καὶ βάθος· καὶ ἔμπαλιν εἴ τι ἔχει τὰς
τρεῖς διαστάσεις, ἐκεῖνο πάντως στερεόν ἐστιν, ἄλλο
δ' οὐδέν. Οὐκ ἄρα τὸ δύο μόνον ἔχον διαστάσεις
ἔσται στερεόν, ἀλλ' ἐπιφάνεια· αὕτη γὰρ διαστη-
μάτων ἐπιδεκτικὴ δυοῖν ἐστὶ μόνων· καὶ ἐπ' αὐτῆς
δυνατὸν ὁμοιοτρόπως ἀντιστρέφειν τὸν λόγον·
46 ἐπιφάνειά τε γὰρ ὀρθῶς τὸ διχῇ διαστατόν, καὶ
ἔμπαλιν τὸ διχῇ διαστατὸν πάντως ἐπιφάνεια.
Ἑνὶ ἄρα διαστήματι ἡλάττωται ἐπιφάνεια στε-
ρεοῦ, ἑνὶ δὲ γραμμῇ ἐπιφανείας, οὖσα τὸ ἐφ' ἓν
διαστατόν, καὶ ἑνὸς μόνου τετευχυῖα διαστήμα-
τος, λειπομένη δὲ στερεοῦ δυσὶ διαστήμασι· ταύ-
της δ' αὐτῆς λείπεται ἑνὶ διαστήματι τὸ σημεῖον·
διὰ τοῦτο προελέχθη εἶναι ἀδιάστατον, στερεοῦ

μὲν τρισὶ διαστήμασι λειπόμενον, ἐπιφανείας δὲ δυσί, γραμμῆς δὲ ἑνί.

ζ'. Ἔστιν οὖν τὸ σημεῖον ἀρχὴ διαστήματος, οὐ διάστημα δέ, τὸ δὲ αὐτὸ καὶ ἀρχὴ γραμμῆς, οὐ γραμμὴ δέ· καὶ γραμμὴ ἀρχὴ ἐπιφανείας, οὐκ ἐπιφάνεια δέ, καὶ ἀρχὴ τοῦ διχῆ διαστατοῦ, οὐ διχῆ δὲ διαστατόν. Καὶ εἰκότως ἡ ἐπιφάνεια ἀρχὴ τοῦ σώματος, οὐ σῶμα δέ, καὶ ἡ αὐτὴ ἀρχὴ μὲν τοῦ τριχῆ διαστατοῦ, οὐ τριχῆ δὲ διαστατόν. Οὕτω δὴ καὶ ἐν τοῖς ἀριθμοῖς ἡ μὲν μονὰς ἀρχὴ παντὸς ἀριθμοῦ, ἐφ' ἓν διάστημα κατὰ μονάδα προβιβαζομένου, ὁ δὲ γραμμικὸς ἀριθμὸς ἀρχὴ ἐπιπέδου ἀριθμοῦ, ἐφ' ἕτερον διάστημα ἐπιπέδως πλατυνομένου, ὁ δὲ ἐπίπεδος ἀριθμὸς ἀρχὴ στερεοῦ ἀριθμοῦ, ἐπὶ τρίτον διάστημα πρὸς τὰ ἐξ ἀρχῆς βάθος τι προσκτωμένου· οἷον καθ' ὑποδιαίρεσιν γραμμικοὶ μέν εἰσιν ἀριθμοὶ ἁπλῶς ἅπαντες οἱ ἀπὸ δυάδος ἀρχόμενοι καὶ κατὰ μονάδος πρόσθεσιν ἐπὶ ἓν καὶ τὸ αὐτὸ προχωροῦντες διάστημα, ἐπίπεδοι δὲ οἱ ἀπὸ τριάδος ἀρχόμενοι, ἀρχικωτάτης ῥίζης, καὶ διὰ τῶν ἑξῆς συνεχῶν ἀριθμῶν προϊόντες, λαμβάνοντες καὶ τὴν ἐπωνυμίαν κατὰ τὴν αὐτὴν τάξιν· πρώτιστοι γὰρ τρίγωνοι, εἶτα μετ' αὐτοὺς τετράγωνοι, εἶτα μετ' αὐτοὺς πεντάγωνοι, καὶ ἐπὶ τούτοις ἑξάγωνοι καὶ ἑπτάγωνοι, καὶ ἐπ' ἄπειρον· προσαγορεύονται δέ, ὡς ἔφαμεν, ἀπὸ τῶν ἀπὸ τριάδος ἐφεξῆς κειμένων ἀριθμῶν. Ἀρχικώτατον ἄρα σχῆμα ἐπιπέδων καὶ στοιχειωδέστατον τὸ τρίγωνον εὑρίσκεται· καὶ γὰρ ἐν τοῖς γραμμικοῖς ἐπιπέδοις, ἐὰν ἀπὸ τῶν γωνιῶν ἐπὶ τὰ μέσα εὐθεῖαι ἀχθῶσι, λυθήσεται ἕκαστον εὐθύγραμμον σχῆμα πάντως εἰς τρίγωνα τοσαῦτα, ὅσαπερ ἂν αὐτοῦ τυγχάνωσιν αἱ πλευραί, αὐτὸ δὲ τὸ τρίγωνον τὸ αὐτὸ τοῖς ἄλλοις παθὸν εἰς ἕτερόν τι οὐ μεταπεσεῖται, ἀλλ' εἰς ἑαυτό· στοι-

χεῖον ἄρα καὶ ἐν ἐκείνοις τὸ τρίγωνον· εἰς αὐτὸ γὰρ τὰ ἄλλα πάντα ἀναλύεται ἀναγκαίως, αὐτὸ
47 δὲ οὐκ εἰς ἕτερον· ἐκ τούτου ἂν καὶ συσταίη τὰ λοιπά, αὐτὸ δὲ ἐξ οὐδενός· στοιχεῖον ἄρα τοῦτο τῶν ἄλλων, αὐτοῦ δὲ οὐδέν. Κἂν τοῖς ἀριθμητικοῖς δὲ ἐπιπέδοις προϊὼν ὁ λόγος βεβαιώσει τὸ λεγόμενον.

ή. Τρίγωνος μὲν οὖν ἐστὶν ἀριθμὸς ὁ διαλυόμενος εἰς μονάδας καὶ τὴν κατ' ἐπίπεδον θέσιν τῶν μονάδων ἰσοπλεύρως σχηματογραφῶν εἰς τριγωνισμόν· οὗ ὑποδείγματα ὁ γ', στ', ί, ιέ, κά, κή, λστ', καὶ οἱ ἑφεξῆς· σχηματογραφίαι γὰρ αὐτῶν εὔτακτοι ἔσονται τρίγωνοί τε ἅμα καὶ ἰσόπλευροι· καὶ τὸ τοιοῦτον, μέχρις οὗ βούλει, προκόπτων τριγωνιζόμενον εὑρήσεις, πρὸ πάντων στοιχειωδέστατον τάττων τὸ ἐκ μονάδος γινόμενον, ἵνα καὶ τρίγωνος δυνάμει φαίνηται ἡ μονάς, ἐνεργείᾳ δὲ πρῶτος ὁ τρία. Πλευραὶ δὲ παραυξηθήσονται τῷ συνεχεῖ ἀριθμῷ· τοῦ μὲν γὰρ δυνάμει πρώτου πλευρὰ μονάς, τοῦ δὲ ἐνεργείᾳ πρώτου, τουτέστι, τοῦ τρία, πλευρὰ δυάς, τοῦ δὲ ἐνεργείᾳ δευτέρου, τουτέστι, τοῦ στ', πλευρὰ τριάς, τοῦ δὲ τρίτου πλευρὰ τετράς, καὶ τοῦ τετάρτου πεντάς, καὶ τοῦ πέμπτου ἑξάς, καὶ ἀεὶ οὕτως. Γεννᾶται δὲ ἀπὸ τοῦ φυσικοῦ ἀριθμοῦ στοιχηδὸν ἐκτεθέντος, καὶ ἀεὶ ἀπ' ἀρχῆς τῶν συνεχῶν κατὰ ἕνα συντιθεμένων· κατὰ γὰρ ἑκάστην σύνθεσιν καὶ προσσώρευσιν οἱ εὔτακτοι τρίγωνοι συντελοῦνται· οἷον ἐκ μὲν τοῦ φυσικοῦ στίχου τούτου ά, β', γ', δ', έ, στ', ζ', ή, θ', ί, ιά, ιβ', ιγ', ιδ', ιέ, ὁ ά, γ', στ', ί, ιέ, κά, κή, λστ', μέ, νέ, ξστ', οή, ςά, ρέ, ρκ'· τὸν γὰρ πρώτιστον λαβὼν ἔχω τον δυνάμει πρῶτον τρίγωνον, τὴν μονάδα, εἶτα τὸν συνεχῆ αὐτῷ ἐπισωρεύσας ἔχω τὸν ἐνεργείᾳ πρῶτον τρίγωνον· δύο γὰρ καὶ ἓν ὁ γ' ἐστί, καὶ τῇ γε σχηματογραφίᾳ οὕτως συνίσταται· ἐπὶ μιᾷ γὰρ μονάδι δύο

μονάδες παράλληλοι ὑποτίθενται, καὶ τριγωνίζεται ὁ γ' ἀριθμός· εἶτα ἑξῆς ἐπὶ τούτοις ὁ γ' συνεχὴς προσωρευθεὶς καὶ ἐξαπλωθεὶς εἰς μονάδα καὶ συντεθεὶς τὸν στ' ἀποδίδωσι δεύτερον ἐνεργείᾳ τρίγωνον, καὶ προσέτι σχηματογραφεῖ· καὶ πάλιν ὁ φύσει ἀκόλουθος ὁ δ', ἐπὶ τούτοις σωρευθεὶς καὶ μοναδιστὶ ὑπογραφείς, τὸν εὔτακτον μετὰ τοὺς εἰρημένους ἀποδίδωσι τὸν ι', καὶ τριγωνιστί γε σχηματίζει· καὶ ὁ ε' ἐπὶ τούτῳ, εἶτα ὁ στ', εἶτα ὁ ζ', καὶ οἱ ἑξῆς ἅπαντες, ὥστ' ἐμμελῶς καὶ τὰς πλευρὰς ἑκάστου τοσούτων εἶναι μονάδων, ὁπόσοιπερ ἀριθμοὶ συνετέθησαν ἐκ τοῦ φυσικοῦ στίχου εἰς τὴν αὐτοῦ σύστασιν. 48

θ'. Τετράγωνος δέ ἐστιν ἀριθμὸς ὁ συνεχὴς τούτῳ, καὶ μηκέτι τρεῖς, ὡς ὁ πρόσθεν, ἀλλὰ τέσσαρας ἐν τῇ καταγραφῇ γωνίας ἀποδιδοὺς ἐν ἰσοπλεύρῳ μέντοι καὶ αὐτὸς σχηματισμῷ, οἷον ά, δ', θ', ιστ', κε', λστ', μθ', ξδ', πά, ρ'· τούτων γὰρ αἱ καταγραφαὶ ἰσόπλευροι τετραγωνισμοὶ οὕτω πως γίνονται· καὶ ἐφεξῆς οὕτω, μέχρις οὗ βούλει. Καὶ τούτοις δὲ συμβέβηκεν, ὥσπερ καὶ τοῖς πρὸ αὐτῶν, τὴν τῶν πλευρῶν πρόβασιν κατὰ τὸν φυσικὸν ἀριθμὸν προκόπτειν· τῷ μὲν γὰρ δυνάμει πρώτῳ τῷ ἑνὶ πλευρὰ μονάς, τῷ δὲ ἐνεργείᾳ πρώτῳ τῷ δ' πλευρὰ δυάς, τῷ δὲ ἐνεργείᾳ δευτέρῳ τῷ θ' πλευρὰ τριάς, τῷ δὲ μετ' αὐτὸν ἐνεργείᾳ τρίτῳ τῷ ιστ' πλευρὰ τετράς, καὶ τῷ τετάρτῳ πεντάς, καὶ τῷ πέμπτῳ ἑξάς, καὶ καθόλου οἱ ἐφεξῆς ταῖς ἐφεξῆς. Γεννᾶται δὲ καὶ οὗτος ἀπὸ τρῦ στοιχηδὸν ἐκτεθέντος φυσικοῦ ἀριθμοῦ, τῇ μονάδι ἐπισωρευθέντων οὐκέτι τῶν ἐφεξῆς τοῖς ἐφεξῆς, ὡς δέδεικται ἐπὶ τῶν τριγώνων, ἀλλὰ τῶν παρ' ἕνα κειμένων πάντων, τουτέστι, τῶν περισσῶν· πρῶτος γὰρ ὁ ά δυνάμει πρῶτος τετράγωνος, δεύτερος ὁ ά καὶ γ' ἐνεργείᾳ πρῶτος τετράγωνος, τρί-

τος δὲ ὁ ά καὶ γ' καὶ ε' ἐνεργείᾳ δεύτερος τετράγωνος, τέταρτος δὲ ὁ ά καὶ γ' καὶ ε καὶ ζ' ἐνεργείᾳ τρίτος τετράγωνος, καὶ ὁ ἑξῆς τοῖς προτέροις προσωρευθέντος τοῦ θ' γίνεται, καὶ ὁ μετ' αὐτόν, τοῦ ιά προστεθέντος, καὶ οὕτως ἀεί. Καὶ ἐπὶ τούτων δὲ συμβέβηκε τοσούτων μονάδων τὴν ἑκάστου πλευρὰν εἶναι, ὁπόσοιπερ ἂν ὦσιν οἱ εἰς τὴν αὐτοῦ γένεσιν ἐπισωρευθέντες ἀριθμοί.

ί. Πεντάγωνος δέ ἐστιν ἀριθμὸς ὁ καὶ αὐτὸς κατὰ τὴν ἐξάπλωσιν τὴν εἰς μονάδας σχηματογραφούμενος ἐπιπέδως εἰς πενταγωνικὸν σχῆμα πάντη ἰσόπλευρον, οἷον ά, ε', ιβ', κβ', λέ, να, ό, καὶ οἱ ἀνάλογον. Ἀλλ' ἔστι τοῦ μὲν πρώτου κατ' ἐνέργειαν, τουτέστι, τοῦ ε ἑκάστη πλευρὰ δυάς· μονὰς μὲν γὰρ τοῦ δυνάμει πρωτίστου πενταγώνου ὑπάρχει τοῦ πρώτου, τοῦ δὲ τῶν ἐκκειμένων δευτέρου τοῦ ιβ' πλευρὰ τριάς, καὶ τοῦ μετ' αὐτὸν τοῦ κβ' τετράς, καὶ τοῦ ἑξῆς τοῦ λέ πεντάς, καὶ ἑξὰς τοῦ ἐπὶ τούτῳ τοῦ να, καὶ ἀεὶ οὕτως· καθόλου γὰρ τοσούτων μονάδων ἑκάστου πλευρά ἐστιν, ὅσοιπερ εἰς τὴν αὐτοῦ σύστασιν συνεσωρεύθησαν ἀριθμοί, ἐκλεγέντες ἐκ τοῦ κατὰ φύσιν στοιχηδὸν ἐκκειμένου ἀριθμητικοῦ χύματος· παραπλησίως γὰρ καὶ ὁμοιοτρόπως ἐπισωρεύονται ἀλλήλοις εἰς πενταγώνου γένεσιν οἱ ἀπὸ μονάδος δύο διαλείποντες ἐφ' ὁσονοῦν, τουτέστιν, οἱ τριάδι ἀλλήλων ὑπερέχοντες· ἡ μὲν μονὰς δυνάμει πρῶτος καὶ σχηματογραφεῖται οὕτως, ὁ δὲ ε δεύτερος ἐκ τοῦ ά καὶ δ' συντεθέντων, σχηματογραφούμενος καὶ αὐτὸς οὕτως, ὁ δὲ ιβ' ὁ τρίτος ἔκ τε τῶν β' προτέρων καὶ τοῦ ζ' ἐπισωρευθέντος αὐτοῖς, ἵνα καὶ αὐτὸς τριάδα πλευρὰν σχῇ, ὡς τριῶν συντεθέντων εἰς τὴν αὐτοῦ σύστασιν, ὡς καὶ ὁ πρὸ αὐτοῦ ὁ ε δυάδα πλευρὰν εἶχεν, ἐκ δύο συντεθείς, ἡ δὲ σχηματογραφία αὐτοῦ τοιαύτη ἐστίν. Οἱ δὲ ἐπὶ τούτοις γεννήσονται καθεξῆς προσωρευομέ-

49

νων τῶν κατὰ τριάδος ὑπεροχήν, εὐτάκτων μετὰ τὴν ἑβδομάδα ὄντων, οἷον τοῦ ί, ιγ', ισ', ιθ', κβ', κέ, καὶ ἐπ' ἄπειρον· ἔσονται γὰρ κβ', λέ, να', ό, ςβ', ριζ', καὶ τοῦτο μέχρι παντός.

ια'. Καὶ ἑξάγωνοι δὲ καὶ ἑπτάγωνοι καὶ οἱ ἑξῆς κατὰ τὴν αὐτὴν ἔφοδον προβιβασθήσονται ἀπὸ τοῦ φυσικοῦ χύματος τοῦ ἀριθμοῦ στοιχηδὸν ἐκτεθέντος, ἀεὶ κατὰ μονάδος πρόσθεσιν τῶν ἀποστάσεων γινομένων· ὡς γὰρ ὁ μὲν τρίγωνος τοὺς μονάδι διαφέροντας, μηδὲν δὲ παραλείποντας εἰς τὴν σωρείαν δεχόμενος ἀπετελεῖτο, ὁ δὲ τετράγωνος τοὺς δυάδι μὲν διαφέροντας, ἕνα δὲ παραλείποντας, πεντάγωνος δὲ ἀκολούθως τοὺς τριάδι μὲν διαφέροντας, δύο δὲ παραλείποντας, οὓς καὶ ἀπεδείξαμεν, ὑποδείγματα αὐτῶν τε καὶ τῶν ἀποτελουμένων ἐξ αὐτῶν ἐκθέμενοι, οὕτω καὶ ἑξάγωνοι γνώμονας ἕξουσι τοὺς τετράδι μὲν διαφέροντας, τρεῖς δὲ παραλείποντας, ἐξ ὧν συντεθέντων σωρηδὸν ἀποτελοῦνται, οἷον ά, έ, θ', ιγ', ιζ', κώ καὶ ἐφεξῆς, ἵνα οἱ ἀποτελούμενοι ἑξάγωνοι ὦσιν, ά, στ', ιέ, κή, μέ, ξστ', καὶ ἀεί, μέχρις οὗ ἂν τις θέλῃ. Οἱ δὲ τούτοις ἀκόλουθοι ἑπτάγωνοι τοὺς μὲν γνώμονας ἕξουσι πεντάδι μὲν διαφέροντας, τετράδι δὲ διαλείποντας, οἷον ά, στ', ιά, ιστ', κά, κστ', λά, λστ', καὶ ἐφ' ὁσονοῦν, αὐτοὶ δὲ οἱ συνιστάμενοι εἰσιν ά, ζ', ιή, λθ', νέ, πά, ριβ', ρμή, καὶ τοῦτο μέχρι παντός. Ὀκτάγωνοι δὲ κατὰ τὴν αὐτὴν τάξιν τοῖς τε γνώμοσιν ἑξάδι διαφέρουσι προκόπτουσι καὶ τοῖς συστήμασιν ἀναλόγως. Ἵνα δὲ ἐπὶ πάντων 50
παρατηροῦντι τοῦτο καθολικὸν σύμφωνον ᾖ, ἑκάστου πολυγώνου τοὺς γνώμονας διαφέρειν ἀλλήλων δυάδι ἐλαττόνως, ἢ κατὰ τὴν ἐν τῷ ὀνόματι ποσότητα τῶν γωνιῶν, τουτέστι, μονάδι μὲν τὸν τρίγωνον, δυάδι δὲ τὸν τετράγωνον, τριάδι δὲ τὸν πεντάγωνον, τετράδι δὲ τὸν ἑξάγωνον, καὶ πεν-

τάδι τὸν ἑπτάγωνον, καὶ ἀεὶ κατὰ παραύξησιν οὕτως.

ιβ'. Καὶ περὶ μὲν τῆς τῶν πολυγώνων φύσεως τῶν ἐπιπέδων ἱκανὰ ταῦτα ὡς ἐν πρώτῃ εἰσαγωγῇ, ὅτι δὲ συμφωνοτάτη διδασκαλία ἡ περὶ αὐτῶν τῇ γραμμικῇ καὶ οὐκ ἀπᾴδουσα, δῆλον ἂν εἴη οὐ μόνον ἐκ τῆς σχηματογραφίας τῆς καθ' ἕκαστον, ἀλλὰ κἀκεῖθεν· πᾶν τετράγωνον σχῆμα διαγωνίως διαιρεθὲν εἰς δύο τρίγωνα λύεται, καὶ πᾶς τετράγωνος ἀριθμὸς εἰς δύο τριγώνους συνεχεῖς λύεται, καὶ ἐξ ἄρα δύο τριγώνων συνεχῶν συνέστηκεν· οἷον τρίγωνοι μέν εἰσιν ἁ, γ', στ', ι', ιέ, κά, κή, λστ', μέ, νέ καὶ οἱ ἑξῆς, τετράγωνοι δὲ ά, δ', θ', ιστ', κέ, λστ', μθ', ξδ', πά, ρ'. Δύο δή, οὓς ἂν θέλῃς, τριγώνους συνεχεῖς ἀλλήλοις συνθεὶς πάντως τετράγωνον ποιήσεις, καὶ ὁντινοῦν τετράγωνον ἄρα διαλύσας, δυνήσῃ δύο ἀπ' αὐτοῦ τριγώνους ποιῆσαι· καὶ πάλιν παντὶ τετραγώνῳ σχήματι τρίγωνον προσζευχθὲν ὁθενοῦν πεντάγωνον ποιεῖ, οἷον τῷ δ' τετραγώνῳ ὁ ά τρίγωνος προσζευχθεὶς τὸν ε πεντάγωνον ποιεῖ, καὶ τῷ ϛ' τῷ ἑξῆς ὁ ἑξῆς προστεθείς, δηλονότι ὁ γ', πεντάγωνον τὸν ιβ' ποιεῖ, τῷ δὲ ιστ' ὄντι ἀκολούθῳ ὁ στ' ἀκόλουθος ἐπισυντεθεὶς τὸν κβ' ἀκόλουθον ἀποδίδωσι, καὶ τῷ κέ ὁ ι', τὸν λέ, καὶ ἀεὶ οὕτως. Κατὰ δὲ τὰ αὐτὰ κἂν τοῖς πενταγώνοις εἰ οἱ τρίγωνοι προστιθεῖντο τῇ αὐτῇ τάξει, τοὺς εὐτάκτους γεννήσουσιν ἑξαγώνους, καὶ πάλιν ἐκείνοις οἱ αὐτοὶ προσπλεκόμενοι τοὺς ἐν τάξει ἑπταγώνους ποιήσουσι, καὶ μετ' ἐκείνους τοὺς ὀκταγώνους, καὶ τοῦτο ἐπ' ἄπειρον. Πρὸς δὲ ὑπόμνησιν ἐκκείσθωσαν ἡμῖν πολυγώνων στίχοι παραλλήλως γεγραμμένοι οἵδε, ὁ ά τριγώνων, ὁ μετ' αὐτὸν τετραγώνων, μετὰ δὲ ἀμφοτέρους πενταγώνων, εἶτα ἑξαγώνων, εἶτα ἑπταγώνων, εἶτα, εἰ ἐθέλει τις, καὶ τῶν ἑξῆς πολυγώνων· ἔξεστι γὰρ καὶ τῶν ἑφε-

ξῆς πολυγώνων τὴν ἔκθεσιν ἐν παραλλήλοις στί- 51
χοις οὕτω, ὥσπερ τῶν πρὸ αὐτῶν ποιήσασθαι. Καθολικῶς γὰρ εὑρήσεις τοὺς μὲν τετραγώνους τῶν ὑπὲρ αὐτοὺς κειμένων σύστημα ὄντας ὁμοταγῶν τριγώνων καὶ ἔτι τῶν ὑπερκειμένων ἐκείναις ὁμογενῶν, οἷον τὸν δ' τοῦ γ' καὶ τοῦ ά, τὸν θ' τοῦ στ' καὶ γ', τὸν ιστ' τοῦ ί καὶ τοῦ στ', τὸν κέ τοῦ ιέ καὶ τοῦ ί, τὸν δὲ λστ' τοῦ κά καὶ ιέ, καὶ μέχρις οὗ βούλει ἀεὶ οὕτως· τοὺς δὲ πενταγώνους τῶν ὑπὲρ αὐτοὺς ὁμοταγῶν τετραγώνων σύστημα ὄντας καὶ προσέτι τῶν πρωτογενῶν τριγώνων, ὅσοι εἰσὶ μονάδι ἐλάττονες ὁμοταγεῖς, οἷον ὁ μὲν έ τοῦ δ' καὶ ά, ὁ δὲ ιβ' τοῦ θ' καὶ γ', ὁ δὲ κβ' τοῦ ιστ' καὶ στ', ὁ δὲ λέ τοῦ κέ καὶ ί, καὶ μέχρις οὗ βούλει. Πάλιν δὲ οἱ ἑξάγωνοι τῶν ὑπὲρ αὐτοὺς ὁμοταγῶν πενταγώνων καὶ τῶν προεκτεθέντων τριγώνων ὁμοίως, οἷον ὁ στ' τοῦ έ καὶ ά, ὁ ιέ τοῦ ιβ' καὶ γ', ὁ δὲ κή τοῦ κβ' καὶ στ', ὁ δὲ μέ τοῦ λέ καὶ ί, καὶ μέχρις οὗ βούλει. Τῶν δὲ ἑπταγώνων ὁ αὐτὸς τρόπος· ὁ μὲν γὰρ ζ' σύστημά ἐστι τοῦ στ' καὶ ά, ὁ δὲ ιή τοῦ ιέ καὶ γ', ὁ δὲ λδ' τοῦ κή καὶ στ', καὶ οἱ ἑξῆς ἀκολούθως, ἵνα ἕκαστος πολύγωνος σύστημα ᾖ τοῦ τε ὑπὲρ αὐτὸν ὁμοταγοῦς πολυγώνου καὶ τοῦ ἀνωτάτου τριγώνου τοῦ μονάδι ἐλάττονος ὁμοταγοῦς. Εἰκότως ἄρα στοιχεῖον πολυγώνων τὸ τρίγωνον καὶ ἐν γραμμαῖς καὶ ἐν ἀριθμοῖς· καὶ γὰρ καὶ κατὰ βάθος ἐν τῷ διαγράμματι εὑρίσκονται οἱ συνεχεῖς ἀεὶ ἀριθμοὶ κατὰ τοὺς στίχους αὐτοὺς ἔχοντες διαφορὰς τοὺς εὐτάκτους τριγώνους.

ιγ'. Ἐντεῦθεν ἤδη ῥᾴδιον συνιδεῖν, τίς τε ὁ στερεὸς ἀριθμὸς καὶ πῶς ἰσοπλεύρως ὁ τοιοῦτος προκόπτει· ὁ γὰρ πρὸς τοῖς δυσὶ διαστήμασι τοῖς ἐν τῇ ἐπιπέδῳ σχηματογραφίᾳ θεωρουμένοις ἐπὶ μῆκος καὶ ἐπὶ πλάτος τρίτον διάστημα προσειληφώς, ὅ τινες μὲν βάθος, τινὲς δὲ πάχος καλοῦσιν, ἔνιοι δὲ ὕψος,

ἐκεῖνος ἂν εἴη στερεὸς ἀριθμός, ὁ τριχῇ δεκαπλασιαστὸς καὶ ἔχων ἐν ἑαυτῷ μῆκος, πλάτος καὶ βάθος. Πρώτιστα δὲ οὗτος φανταζεται ἐν ταῖς λεγομέναις πυραμίσιν· αὗται δὲ γίνονται ἐκ πλατυτέρων βάσεων, μειουριζομένων εἰς ὀξεῖαν κορυφήν, πρῶτον μὲν κατὰ τριγωνισμὸν ἀπὸ τριγώνου βάσεως, δεύτερον δὲ κατὰ τετραγωνισμὸν ἀπὸ τετραγώνου βάσεως, ἑξῆς δὲ τούτοις κατὰ πενταγωνισμὸν ἀπὸ πενταγώνου βάσεως, εἶτα ἀνάλογον ἀπὸ ἑξαγώνου καὶ ἑπταγώνου καὶ ὀκταγώνου, καὶ ἀεὶ ἐπ' ἄπειρον. Καθάπερ ἀμέλει καὶ ἐν τοῖς γεωμετρικοῖς στερεοῖς σχήμασιν ἀπὸ τριγώνου ἰσοπλεύρου, ἐάν τις εὐθείας ἐπινοήσῃ τρεῖς ἀπὸ τῶν γωνιῶν τῷ μήκει ἴσας ταῖς τοῦ τριγώνου πλευραῖς καθ' ὕψος συννευούσας εἰς ἓν καὶ τὸ αὐτὸ σημεῖον, πυραμὶς ἂν ἀποτελεσθείη, ὑπὸ τεσσάρων περιεχομένη τριγώνων ἰσοπλεύρων τε καὶ ἴσων ἀλλήλοις, ἑνὸς μὲν τοῦ ἐξ ἀρχῆς τριγώνου, τριῶν δὲ τῶν περιγραφέντων ὑπὸ τῶν λεχθεισῶν τριῶν εὐθειῶν. Καὶ πάλιν ἀπὸ τετραγώνου ἐπιπέδου, ἐάν τις τέσσαρας εὐθείας λογίσηται τῷ μήκει ἴσας ταῖς τοῦ τετραγώνου πλευραῖς, ἑκάστην ἑκάστῃ, πάλιν κατὰ τὸ ὕψος συννευούσας εἰς ἓν καὶ τὸ αὐτὸ σημεῖον, πυραμὶς ἂν ἀποτελεσθείη ἀπὸ τετραγώνου βάσεως τετραγωνικῶς μειουριζομένη, περιεχομένη δὲ ὑπὸ τεσσάρων μὲν τριγώνων ἰσοπλεύρων, ἑνὸς δὲ τετραγώνου τοῦ ἐξ ἀρχῆς. Καὶ ἀπὸ πενταγώνου δὲ καὶ ἑξαγώνου καὶ ἑπταγώνου, καὶ μέχρις οὗ βούλεταί τις προχωρεῖν, τῷ αὐτῷ τρόπῳ εὐθεῖαι ἰσάριθμοι ταῖς γωνίαις ἀπ' αὐτῶν τῶν γωνιῶν ἀνεγειρόμεναι καὶ εἰς ἓν καὶ τὸ αὐτὸ συννεύουσαι σημεῖον, πυραμίδα ἀποκορυφοῦσιν ὀνομαζομένην ἀπὸ πενταγώνου βάσεως ἢ ἑξαγώνου ἢ ἑπταγώνου ἢ ἀνάλογον. Οὕτω δὲ καὶ ἐν τοῖς ἀριθμοῖς ἀπὸ μὲν μονάδος ὡς ἀπὸ σημείου πᾶς γραμμικὸς ηὐξήθη ἀριθμός, οἷον ἀ, β, γ, δ, ε, καὶ οἱ ἑξῆς ἐπ

52

ἄπειρον· ἀπ' αὐτῶν δὲ τούτων γραμμικῶν ὄντων καὶ ἐφ' ἓν διαστατῶν πως συντεθέντων καὶ οὐχ ὡς ἔτυχεν, οἱ πολύγωνοι καὶ ἐπίπεδοι ἀριθμοὶ πλάσσονται, τρίγωνοι μέν, παρὰ μηδένα συντεθέντων τῶν γνωμόνων, τετράγωνοι δέ, παρὰ ἕνα, πενταγωνοι δέ, παρὰ δύο, καὶ ἀεὶ οὕτως. Τὸν αὐτὸν δὴ τρόπον καὶ αὐτῶν τούτων τῶν ἐπιπέδων πολυγώνων ἀριθμῶν ἐπισωρευομένων ἀλλήλοις καὶ ὡσανεὶ ἐποικοδομουμένων αἱ ὁμογενεῖς ἑκάστῳ πυραμίδες γεννῶνται, ἡ μὲν ἀπὸ τριγώνου βάσεως ἀπ' αὐτῶν τῶν τριγώνων, ἡ δὲ ἀπὸ τετραγώνου βάσεως ἀπ' αὐτῶν τῶν τετραγώνων, ἡ δὲ ἀπὸ πενταγώνου ἀπὸ τῶν πενταγώνων, καὶ ἡ ἀπὸ ἑξαγώνου ἀπὸ τῶν ἑξαγώνων, καὶ τοῦτο δι' ὅλου. Εἰσὶν οὖν αἱ μὲν ἀπὸ τριγώνου βάσεως εὐτακτοι αὗται ἀ, δ', ί, ν', λέ, νστ', πδ', καὶ ἐφεξῆς, ὧν ἡ γένεσις αὐτοὶ οἱ τρίγωνοι ἀλλήλοις ἐπισωρευόμενοι, πρῶτος μὲν ὁ ἀ, εἶτα ὁ αγ', εἶτα ὁ αγστ', 53
εἶτα πρὸς τούτοις ὁ ί, καὶ ἐφεξῆς σὺν τοῖς πρόσθεν ὁ ιέ, καὶ ἐπὶ τούτοις ὁ κά, καὶ ἐφεξῆς ὁ κή, καὶ ἐπ' ἄπειρον. Δῆλον δέ, ὅτι καὶ ὁ μείζων τῶν ἀριθμῶν κατώτατος νοεῖται· αὐτὸς γὰρ βάσις εὑρίσκεται, ὁ δὲ εὐθὺς μετ' αὐτὸν ὑπὲρ αὐτόν, καὶ ὁ μετ' ἐκεῖνον ὑπὲρ τοῦτον, ἕως ἂν ἡ μονὰς ἐπὶ τῇ κορυφῇ φανῇ καὶ ὡσανεὶ εἰς σημεῖον ἀπομειουρίσῃ τὴν τελείωσιν τῆς πυραμίδος.

ιδ'. Αἱ δὲ ἑξῆς πυραμίδες εἰσὶν αἱ ἀπὸ τετραγώνου βάσεως ὁμοιοσχημόνως ἀνιστάμεναι ἐφ' ἓν καὶ τὸ αὐτὸ σημεῖον· αὗται δὲ τῷ αὐτῷ τρόπῳ πλάσσονται ταῖς προλεχθείσαις τριγωνικαῖς· τοὺς γὰρ ἀπὸ μονάδος εὐτάκτους τετραγώνους στοιχηδὸν ἐκθέμενος ά, δ', θ', ιστ', κέ, λστ', μθ', ξδ', πά, ρ' καὶ τοὺς ἑξῆς, πάλιν σωρηδὸν ἐπιτίθημι ἀλλήλοις κατὰ βάθος αὐτούς, τὸν ά ἐπάνω τοῦ δ', καὶ γίνεται πυραμὶς ἡ έ, ἐνεργείᾳ πρώτη ἀπὸ τετραγώνου βάσεως, δυνάμει γὰρ ἡ ά, καὶ ἑνταῦ-

θα ἡ μονάς. Πάλιν δ' αὐτὴν ταύτην, ὡς ἔχει τὴν πυραμίδα τὴν ἐκ πέντε μονάδων ἐπιτίθημι ὅλην τῷ θ' τετραγώνῳ, καὶ συνίσταταί μοι ἡ ιδ πυραμίς, ἀπὸ τετραγώνου βάσεως πλευρὰν ἔχουσα πάντοθι τριάδα, τῆς προτέρας ἑνάδα ἐχούσης τῆς ε, τῆς δὲ δυνάμει πρωτίστης μονάδα· δεῖ γὰρ καὶ ἐνθάδε τοσούτων ἑκάστην πλευρὰν ἡστινοσοῦν πυραμίδος μονάδων εἶναι, ὅσοιπέρ εἰσι τὸν ἀριθμὸν οἱ εἰς σύστασιν αὐτῆς συσσωρευθέντες πολύγωνοι. Πάλιν δὲ τὴν ιδ' πυραμίδα συνόλην βάσιν ἔχουσαν τὸν θ' τετράγωνον ἐπιτίθημι τῷ ιστ' τετραγώνῳ, καὶ ἀποτελεῖταί μοι ἡ λ' πυραμίς, τρίτη κατ' ἐνέργειαν τῶν ἀπὸ τετραγώνου βάσεως οὖσα· τῇ δ' αὐτῇ τάξει καὶ ἀγωγῇ καὶ ἀπὸ πενταγώνου βάσεως καὶ ἀπὸ ἑξαγώνου καὶ ἀπὸ ἑπταγώνου· καὶ ἐπὶ πλεῖον ἀεὶ προχωροῦντες πυραμίδας συστησόμεθα, τοὺς ἀναλογοῦντας ἑκάστῃ πολυγώνους ἐπισωρεύοντες ἀλλήλοις, ἀπὸ μονάδος ἀρχόμενοι ὡς ἀπὸ ἐλαχίστου καὶ προχωροῦντες μέχρις ἀπείρου καθ' ἑκάστην. Καὶ ἐκ τούτου δὲ δῆλον γίνεται, ὅτι στοιχειωδέστερα τὰ τρίγωνα· πᾶσαι γὰρ ἁπλῶς αἱ δεικνύμεναι καὶ φαινόμεναι πυραμίδες ἀπὸ τῶν καθ' ἑκάστην πολυγώνων βάσεων τριγώνοις μέχρι κορυ-
54 φῆς περιέχονται. Ἵνα δὲ μὴ ἀνήκοοι ὦμεν κολούρων καὶ δικολούρων καὶ τρικολούρων πυραμίδων, ὧν τοῖς ὀνόμασιν ἐντευξόμεθα ἐν τοῖς συγγράμμασι μάλιστα θεωρηματικοῖς, ἰστέον, ὅτι, ἐὰν πυραμὶς ἀφ' ἡστινοσοῦν βάσεως, τουτέστιν, ὁντιναοῦν πολύγωνον ἔχουσα βάσιν, εἴτε τρίγωνον εἴτε τετράγωνον εἴτε πεντάγωνον εἴτε τῶν ἑξῆς τινὰ τῶν ὁμογενῶν πολυγώνων, κατὰ σωρείαν αὐξηθεῖσα μὴ ἐπὶ μονάδα μειουρισθῇ, κόλουρος ἁπλῶς λέγεται, ἑστερημένη τῆς φυσικῆς καὶ πᾶσιν ἐπιβαλλούσης κορυφώσεως· οὐ γὰρ εἰς τὸν δυνάμει πολύγωνον τὴν μονάδα τελευτᾷ αὕτη, ὡς εἰς ἕν τι σημεῖον, ἀλλ' εἰς ἕτερον ἐνεργείᾳ, καὶ οὐκέτι

μονὰς κορυφή, ἀλλ' ἐπίπεδον αὐτῇ τὸ πέρας γίνεται ἰσογώνιον τῇ βάσει· ἐὰν δὲ πρὸς τῷ μὴ εἰς μονάδα τελευτᾷν ἔτι καὶ μὴ εἰς τὸν παρὰ τὴν μονάδα ἐνεργείᾳ πρῶτον τελευτήσῃ, δικόλουρος λέγεται ἡ τοιαύτη· ἐὰν δὲ καὶ ἔτι μὴ ἔχῃ τὸν ἐνεργείᾳ δεύτερον πολύγωνον ἐπὶ τῷ συμπεράσματι, ἀλλὰ μόνον τὸν ὑπ' αὐτόν, τρικόλουρος κεκλήσεται, καὶ τετρακόλουρός γε, ἂν καὶ τὸν μετ' ἐκεῖνον μὴ ἔχῃ, καὶ πεντακόλουρος κατὰ τὸ ἑξῆς, καὶ ἀεί, μέχρις οὗ βούλει παρεκτείνειν τὸ ὄνομα.

ιέ. Καὶ ἡ μὲν τῶν ἰσοπλεύρων στερεῶν ἀριθμῶν πυραμοειδῶν γένεσις καὶ προκοπὴ καὶ ἐπαύξησις φυσικὴ τοιαύτη, σπέρμα καὶ ῥίζαν ἔχουσα τοὺς πολυγώνους αὐτοὺς καὶ τὴν ἐκείνων εὔτακτον ἐπισωρείαν· ἑτέρα δέ τις στερεῶν ἑτερογενῶν εὐταξία ἐστὶ τῶν λεγομένων κύβων, δοκίδων, πλινθίδων, σφηνίσκων, σφαιρικῶν, παραλληλεπιπέδων, τὴν τῆς προβάσεως τάξιν ἔχουσα τοιαύτην τινά. Οἱ προφρασθέντες τετράγωνοι ά, δ', θ', ιστ', κέ, λστ', μθ', ξδ' καὶ οἱ ἑξῆς, διχῇ ὄντες διαστατοὶ καὶ ἐν τῇ ἐπιπέδῳ σχηματογραφίᾳ μῆκος καὶ πλάτος μόνον ἔχοντες, ἔτι καὶ τρίτον προσλήψονται διάστημα καὶ ἔσονται στερεοὶ καὶ τριχῇ διαστατοί, ἐὰν τῇ ἰδίᾳ πλευρᾷ ἕκαστος πολλαπλασιασθῇ, ὁ μὲν δ', δὶς β' ὤν, πάλιν δὶς γενόμενος, ἵνα ὀγδοὰς ἀποτελεσθῇ, ὁ δὲ θ', τρὶς γ' ὤν, πάλιν τριάδι ἐπ' ἄλλο διάστημα αὐξηθῇ καὶ γένηται ὁ κζ', ὁ δὲ ιστ', τετράκις δ' ὑπάρχων, πάλιν τετράδι τῇ αὐτοῦ πλευρᾷ μεγεθυνθῇ καὶ γένηται ὁ ξδ', καὶ οἱ ἑξῆς παραπλησίως μέχρι παντός. Κύβοι οὗτοι πάντες καλοῦνται· τοσούτων δὲ καὶ ἐνθάδε μονάδων αἱ πλευραὶ ἔσονται, ὅσωνπερ ἦσαν καὶ αἱ τῶν τετραγώνων, ἀφ' ὧν ἐγένοντο, ἕκαστος 55
ἀφ' ἑκάστου, αἱ μὲν τοῦ β' δυάδων, ὅσων καὶ αἱ τοῦ δ', αἱ δὲ τοῦ κζ' τριάδων, ὅσων καὶ αἱ τοῦ

θ', αἱ δὲ τοῦ ξδ' τετράδων, ὅσων καὶ αἱ τοῦ ισ' καὶ τοῦτο ἐφεξῆς, ὥστε καὶ ἡ τῆς δυνάμει κύβου μονάδος πλευρὰ μονὰς ἔσται πανταχόθεν, ὅση καὶ ἡ τῆς δυνάμει τετραγώνου μονάδος. Καθόλου δὲ ἕκαστος τετράγωνος ἓν μὲν ἐπίπεδόν ἐστι, γωνίας δὲ ἔχει δ' καὶ πλευρὰς τέσσαρας, ἕκαστος δὲ κύβος ηὐξημένος ὢν ἐξ ἑκάστου τετραγώνου τῇ ἰδίᾳ πλευρᾷ πολυπλασιασθέντος ἐπίπεδα μὲν ἕξει πάντως στ', ὧν ἕκαστον ἴσον τῷ προγόνῳ αὐτοῦ τετραγώνῳ, πλευρὰς δὲ ιβ', ὧν ἑκάστη ἴση καὶ μονάδων γε τοσαύτων, ὅσων καὶ ἡ τοῦ προγόνου τετραγώνου πλευρά, γωνίας δὲ ὀκτὼ στερεάς, ὧν ἑκάστη περιέχεται ὑπὸ τριῶν τοιαύτων, οἷα ἐστὶν ἑκάστη τῶν ἐν τῷ προγόνῳ τετραγώνῳ.

ισ'. Ἐπειδὴ οὖν πάντη ἰσόπλευρον ἐπὶ μῆκος καὶ πλάτος καὶ βάθος σχῆμα στερεὸν ὑπέρχει ὁ κύβος, καὶ ἐπὶ τὰς λεγομένας ἓξ περιστάσεις ἰσοδιάστατον, ἀκόλουθον ἄρα ἐστίν, ἀντικεῖσθαι αὐτῷ τὸ μηδαμῶς ἴσας ἔχον τὰς διαστάσεις ἀλλήλαις, ἀλλ' ἄνισον τὴν τοῦ βάθους τῇ τοῦ πλάτους, καὶ ἑκατέραν τούτων τῇ τοῦ μήκους· οἷον δὶς γ' τετράκις, ἢ τρὶς δ' πεντάκις, ἢ τρὶς ε' ὀκτάκις, ἢ τρὶς ε' δωδεκάκις, ἢ κατά τινα ἄλλην ἀνισότητα τοιαύτην. Τὰ δὲ τοιαῦτα στερεὰ σχήματα λέγεται σκαληνὰ ἁπλῶς, ὧν πάντη τὰ διαστήματα ἄνισα ἀλλήλοις ἐστί· τινὲς δὲ αὐτὰ πολυωνύμως σφηνίσκους καλοῦσι· καὶ γὰρ οἱ σφῆνες ἀνισόπλευροι πανταχῇ, τεκτονικοί τε καὶ οἰκοδομικοὶ καὶ χαλκευτικοὶ καὶ οἱ τῶν ἄλλων τεχνῶν, πλάσσονται ἀπὸ ὀξυτέρου ἄκρου διαδύνειν ἀρχόμενοι, καὶ ἀεὶ μᾶλλον πλατυνόμενοι ἀνομοίως κατὰ πάντα τὰ διαστήματα· τινὲς δὲ τοὺς αὐτοὺς σφηνίσκους καλοῦσι· τοιοῦτος γὰρ καὶ ὁ τῶν σφηκῶν μάλιστα ὄγκος, ἀποσφιγγόμενος κατὰ τὸ μέσον καὶ τὴν λεχθεῖσαν ὁμοιότητα ἐμφαίνων· παρὰ τοῦτο εἰκὸς καὶ τὸ σφήκωμα ὠνομάσθαι· ἔνθα γὰρ ἂν ἀπο-

σφίγξῃ, τὴν τοῦ σφηκὸς ἐντομὴν μιμεῖται· ἕτεροι δὲ τοὺς αὐτοὺς βωμίσκους προσαγορεύουσιν ἀπὸ οἰκείας εἰκόνος· οἱ γὰρ παλαιότροποι βωμοί, μά- 56
λιστα δὲ οἱ ἰωνικοί, οὔτε τὸ πλάτος τῷ βάθει οὔτε συναμφότερα τῷ μήκει ἴσα ἔχουσιν οὔτε τὴν βάσιν τῇ κορυφῇ, ἀλλὰ πάντη εἰσὶν ἐξηλλαγμένοι ταῖς διαστάσεσιν. Ὡς οὖν ἀκροτήτων δύο κύβου τε καὶ σκαληνοῦ, τοῦ μὲν κατ' ἰσότητα διεστῶτος, τοῦ δὲ κατ' ἀνισότητα πάντη, μέσοι εἰσὶ στερεοὶ ἀριθμοὶ οἱ λεγόμενοι παραλληλεπίπεδοι, ὧν καὶ τὰ ἐπίπεδα ἑτερομήκεις ὑπάρχουσιν ἀριθμοί, ὥσπερ καὶ τῶν κύβων αὐτῶν τετράγωνοι ἀριθμοὶ ἦσαν τὰ ἐπίπεδα, ὡς ἐδείχθη.

ιζ'. Πάλιν οὖν ἄνωθεν ἑτερομήκης ἀριθμὸς λέγεται, οὗ ἐπιπέδως σχηματογραφηθέντος τετράπλευρος μὲν καὶ τετραγώνιος γίνεται ἡ καταγραφή, οὐ μὴν ἴσαι ἀλλήλαις αἱ πλευραί, οὐδὲ τὸ μῆκος τῷ πλάτει ἴσον, ἀλλὰ παρὰ μονάδα, οἷον ὁ β', ὁ στ', ὁ ιβ', ὁ κ', ὁ λ', ὁ μβ' καὶ οἱ ἑξῆς· ἂν γὰρ αὐτοὺς ἐπιπέδως διαγράφῃ τις, πάντως οὕτω ποιήσει, ἅπαξ δύο δύο, δὶς τρία στ', τρὶς δ' εβ', καὶ τοὺς ἑξῆς ἀναλόγως, τετράκις πέντε, πεντάκις ἕξ, ἑξάκις ἑπτά, ἑπτάκις ἡ, καὶ ἐπ' ἄπειρον, ἵνα μόνον μονάδι μείζων ἢ ἑτέρα πλευρὰ τῆς λοιπῆς ᾖ, ἄλλῳ δὲ μηδενὶ ἀριθμῷ· ἐὰν δὲ ἄλλως παρὰ τὴν μονάδα διαφέρωσιν ἀλλήλων αἱ πλευραί, οἷον δυάδι ἢ τριάδι ἢ τετράδι ἢ ἑφεξῆς, ὡς τὰ δὶς τέσσαρα ἢ τρὶς στ' ἢ τετράκις ἡ, ἢ ὅπως ποτὲ οὖν ἕτερος, οὐκέτι κυρίως ὁ τοιοῦτος ἑτερομήκης κληθήσεται, ἀλλὰ προμήκης· ἕτερον γὰρ καὶ ἑτερότητα οἱ παλαιοὶ οἱ περί τε Πυθαγόραν καὶ τοὺς ἐκείνου διαδόχους πυθμενικῶς ἐν τῇ δυάδι ἐθεώρουν, ταυτὸν δὲ καὶ ταυτότητα ἐν τῇ μονάδι, ὡς ἐν δισσαῖς ἀρχαῖς τῶν ὅλων· εὑρίσκονται δὲ αὗται μονάδι μόνον ἀλλήλων διαφέρουσαι· ὥστε καὶ

τὸ ἕτερον σπερματικῶς μονάδι ἕτερόν ἐστι καὶ οὐκ ἄλλῳ ἀριθμῷ· διόπερ καὶ συνήθως ἐπὶ δυοῖν, ἀλλ' οὐκ ἐπὶ πλειόνων τὸ ἕτερον λέγεται παρὰ τοῖς ὀρθῶς διαλεγομένοις. Ἀλλὰ μὴν καὶ μονάδι μὲν εἰδοποιεῖσθαι ἀπεδείχθη πᾶς ὁ περισσὸς ἀριθμός, δυάδι δὲ ὁ ἄρτιος πᾶς· ὅθεν εἰκότως τὸν
57 μὲν περισσὸν τῆς ταυτοῦ φύσεως ἐροῦμεν μετέχειν, τὸν δὲ ἄρτιον τῆς θατέρου· καὶ γὰρ δὴ καὶ κατὰ σωρείαν ἑκατέρου ἀποτελοῦνται φύσει, ἀλλ' οὐχ ἡμῶν θεμένων, τῇ μὲν τοῦ ἀπὸ μονάδος περισσοῦ ἐπ' ἄπειρον ἡ τῶν τετραγώνων φύσις, τῇ δὲ τοῦ ἀπὸ δυάδος ἀρτίου ἐπ' ἄπειρον ἡ τῶν ἑτερομηκῶν. Πᾶσα ἄρα ἀνάγκη, τὸν μὲν τετράγωνον οἴεσθαι πάλιν τῆς ταυτοῦ φύσεως μετέχειν· τὸν γὰρ αὐτὸν λόγον καὶ ὅμοιον καὶ ἀπαράλλακτον καὶ ἐν ἰσότητι κείμενον αἱ πλευραὶ αὐτοῦ ἀποδεικνύουσι πρὸς ἑαυτάς, τὸν δὲ ἑτερομήκη τῇ θατέρου· ὃν γὰρ μονὰς πρὸς δυάδα τρόπον παρήλλακται, μονάδι μόνον διαφέρουσα, τοῦτον καὶ παντὸς τοῦ ἑτερομήκους αἱ πλευραὶ πρὸς ἀλλήλας διαλλάσσουσιν, ἡ ἑτέρα τῆς ἑτέρας μονάδι μόνον διαφέρουσα· οἷον ἐκκειμένου μοι τοῦ ἀπὸ μονάδος συνεχοῦς ἑξῆς ἀριθμοῦ, ἐπλεξάμενος ἰδίᾳ μὲν τοὺς περισσοὺς τάσσω ἐν ἑνὶ στίχῳ, ἰδίᾳ δὲ τοὺς ἀρτίους ἐν ἑτέρῳ, καὶ γίνονταί μοι τοιοῦτοι στίχοι,

α, γ, ε, ζ, θ, ια, ιγ, ιε, ιζ, ιθ, κα, κγ, κε, κζ, κθ, λα, λγ·
β, δ, στ, η, ι, ιβ, ιδ, ιστ, ιη, κ, κβ, κδ, κστ, λη, λ, λβ, λδ.

Ἀρχὴ μὲν οὖν τοῦ τῶν περισσῶν στίχου ἡ μονάς, ὁμογενής τε οὖσα καὶ τὴν ταυτοῦ φύσιν ἔχουσα· διὸ οὔτε ἑαυτὴν πολυπλασιάσασα ἐπιπέδως ἢ στερεῶς, ἑτεροιοῦται οὔτε ἄλλον ὁντιναοῦν ἐξίστησι τοῦ ἐξ ἀρχῆς, ἀλλὰ τηρεῖ αὐτὸν ἐν ταυτῷ· τὸ δὲ τοιοῦτον περὶ ἄλλον ἀριθμὸν εὑρεῖν ἀδύνατον. Τοῦ δὲ ἑτέρου στίχου ἀρχὴ ἡ δυὰς ὁμογενὴς αὐτῷ οὖσα καὶ ἑτερότητος καταρκτική·

εἴτε γὰρ ἑαυτὴν εἴτε ἄλλον πολυπλασιάσειεν, ἔκστασιν ποιεῖ, οἷον δὶς β' δ', δὶς γ' στ'. Ὅταν δὲ ᾖ ὀκτάκις ἢ δὶς ἢ τρίς, τὰ τοιαῦτα στερεὰ σχήματα πλινθίδες καλοῦνται, οἱ ἰσάκις ἴσοι ἐλαττονάκις· ἐὰν δὲ μείζονα τὰ ὕψη τῷ τετραγώνῳ προσγένηται, δοκίδες οἱ τοιοῦτοι ἀριθμοὶ λέγονται, οἷον τρὶς τρεῖς τετράκις ἢ πεντάκις ἢ ἑξάκις ἢ ἑπτάκις ἢ ὀκτάκις ἢ ἐννεάκις ἢ ὁσακισοῦν μόνον ὑπερβαλλόντως· ἔστι δὲ δοκὶς ἀριθμὸς ἰσάκις ἴσος μειζονάκις· οἱ δέ γε σφηνίσκοι ἦσαν ἀνισάκις ἄνισοι ἀνισάκις, καὶ οἱ κύβοι ἰσάκις ἴσοι ἰσάκις. Αὐτῶν δὲ τῶν κύβων ὅσοι πρὸς τῷ ἰσάκις ἴσοι ἰσάκις εἶναι ἔτι ἔχουσι καὶ τὸ ἀεὶ καταλήγειν κατὰ πᾶσαν πολυπλασίασιν εἰς τὸ αὐτό, ἀφ' οὗπερ ἤρξαντο, σφαιρικοὶ καλοῦνται, οἱ δ' αὐτοὶ καὶ ἀποκαταστατικοί, ὥςπερ ἀμέλει ὁ ἀπὸ 58
τῆς ε πλευρᾶς καὶ ὁ ἀπὸ τῆς ἕκτης· ὅσαις γὰρ ἂν αὐξήσεσιν αὐξήσω τούτων ἑκάτερον, εἰς τὸ αὐτὸ συμπέρασμα ἀεὶ τελευτήσει πάντως, ὁ μὲν ἀπὸ τοῦ στ' εἰς αὐτὸν τὸν στ', ὁ δὲ ἀπὸ τοῦ ε εἰς αὐτὸν τὸν ε· οἷον πεντάκις ε νε εἰς τὸν ε τελευτήσει, καὶ τοῦτο πεντάκις εἰς τὸν αὐτὸν τελευτήσει πάλιν ρκε, καὶ μέχρις ἀπείρου ἑτέρα τις τελευτὴ οὐχ εὑρεθήσεται, πλὴν ἡ ε, καὶ ἀπὸ τοῦ στ' τὸν αὐτὸν τρόπον ἡ στ καὶ ἄλλη οὐδεμία, ὥστε καὶ ἡ μονὰς δυνάμει σφαιρική ἐστι καὶ ἀποκαταστατική· τὸ γὰρ αὐτὸ τοῦτο πάσχει, ὡς εἰκός, πάθος τὸ περὶ τὰς σφαίρας καὶ τοὺς κύκλους· ἐκείνων γὰρ ἑκάτερον, ὅθεν ἄρχεται, ἐκεῖ καὶ τελευτᾷ περικυκλούμενον καὶ περιστρεφόμενον. Ὡς καὶ οἱ λεχθέντες οὗτοι ἀριθμοὶ μονώτατοι τῶν ἄλλων τῶν ἰσάκις ἴσων καταστρέφουσιν εἰς τὴν αὐτὴν ἀρχήν, ὅθεν ἤρξαντο, κατὰ πάσας τὰς αὐξήσεις· ἀλλ' ἂν μὲν ἐπιπέδως δυσὶ διαστήμασι προπόψωσι, κυκλικοὶ λέγονται, ὡς ὁ ά, κέ, λστ', ἐκ τοῦ ἅπαξ ἓν καὶ τοῦ πεντάκις πέντε καὶ τοῦ ἑξά-

κις ἕξ, ἐὰν δὲ τρία διαστήματα ἔχωσιν ἢ ἐπ
πλέον τούτων πολλαπλασιασθῶσι, τότε σφαιρικ
στερεοὶ λέγονται, ὡς ὁ ά, ρκέ, σιστ', ἢ ἄλλως ὁ
χκέ, ασσστ'.

ιή. Καὶ περὶ μὲν στερεῶν ἀριθμῶν ἱκανὰ ἐ
τῷ παρόντι καὶ ταῦτα· ἐπεὶ δὲ ἀρχὰς τῶν ὅλω
οἵ τε φυσικοὶ καὶ οἱ ἐκ τῶν μαθημάτων ὁρμώμε
νοι ταυτὸν καὶ τὸ ἕτερον λέγουσιν, ἐδείχθη δ
ταυτὸν μὲν ὑπάρχουσα ἡ μονὰς καὶ οἱ κατὰ εἰδο
ποίησιν αὐτῆς περισσοί, πολὺ δὲ μᾶλλον οἱ ἐ
τούτων συσσωρευομένων συνιστάμενοι τετράγωνοι
ὡς ἂν δὴ ἰσότητος ἐν ταῖς πλευραῖς μετέχοντε
ἕτερον δὲ δυάς τε καὶ ὁ ὑπὸ ταύτης εἰδοποιούμε
νος πᾶς ἄρτιος, μάλιστα δὲ οἱ ὑπὸ τούτων συσ
σωρευομένων συνιστάμενοι ἑτερομήκεις, διὰ τὸ κα
πρώτως τῆς ἀνισότητος καὶ ἑτερότητος ἐν τῇ τῶ
πλευρῶν διαφορᾷ μετέχειν, ἔτι τοῦτο ἀποδεικτέο
ἀναγκαιότατα, πῶς ἐν ἀμφοτέροις τούτοις ὡς ἐ
ἀρχαῖς καὶ σπέρμασι δυνάμει πάντα τὰ τοῦ ἀρι
θμοῦ ἰδιώματα προϋπόκειται, εἰδῶν τε αὐτοῦ καὶ
ὑποδιαιρέσεων, σχέσεών τε πασῶν καὶ πολυγώνων
καὶ τῶν παραπλησίων. Πρότερον δὲ διασταλτέο
ἡμῖν, ᾗ διαφέρει προμήκης ἀριθμὸς ἑτερομήκους·
59 ἑτερομήκης μὲν γάρ ἐστιν, ὡς προελέχθη, ὁ γινό
μενος ὑπὸ ἀριθμοῦ τοῦ μονάδι ἑαυτοῦ μείζονα
πολυπλασιάσαντος, οἷον ὁ στ' ὑπὸ τοῦ δὶς γ', καὶ
ὁ ιβ' ὑπὸ τοῦ τρὶς δ', προμήκης δέ ἐστιν ὁ ὑπὸ
δύο μὲν ἀριθμῶν διαφερόντων ὁμοίως καὶ αὐτὸς
γινόμενος, οὐ μὴν μονάδι γε, ἀλλὰ μείζονί τιν
ἀριθμῷ, οἷον δὶς δ', τρὶς στ', τετράκις ἡ, καὶ οἱ
παραπλήσιοι τῷ μήκει προπεπτωκότες τρόπον τι
νὰ καὶ ὑπερβεβηκότες τὴν τῆς μονάδος διαφορά.
Οὐκοῦν ὅτι μὲν οἱ τετράγωνοι ὑπὸ τινῶν ἀρι
θμῶν τῷ ἰδίῳ μήκει μηκυνθέντων γίνονται, ταυ
τὸν ἔχοντες τὸ πλάτος τῷ μήκει, ἰσομήκεις ἂν
κυρίως καὶ ταυτομήκεις λέγοιντο, οἷον δὶς δύο,

τρὶς τρία, τετράκις δ', καὶ οἱ ἑφεξῆς· εἰ δὲ τοῦτο, ἐπιδεκτικοὶ πάντως ταυτότητος καὶ ἰσότητος· διόπερ ὡρισμένοι τε καὶ περαίνοντες· τὸ γὰρ ἴσον καὶ ταυτὸν ἑνὶ τρόπῳ καὶ ὡρισμένῳ τοιοῦτον· ὅτι δὲ οἱ ἑτερομήκεις ἀριθμοὶ οὐκ ἰδίῳ μήκει, ἀλλ' ἑτέρῳ μηκυνθέντες ἀποτελοῦνται, ἑτερομήκεις τε διὰ τοῦτο καὶ ἑτερότητος ἐπιδεκτικοί, ἀπειρίας τε καὶ ἀοριστίας. Τῇδε ἄρα διχοστατεῖ καὶ διανενέμηται καὶ ἐναντία ἀλλήλοις φαίνεται τά τε τοῦ ἀριθμοῦ πάντα καὶ τὰ ἐν κόσμῳ πρὸς ταῦτα ἀποτελεσθέντα, καὶ καλῶς οἱ παλαιοὶ φυσιολογεῖν ἀρχόμενοι τὴν πρώτην διαίρεσιν τῆς κοσμοποιΐας ταύτην ποιοῦνται· Πλάτων μὲν τῆς ταυτοῦ φύσεως καὶ τῆς θατέρου ὀνομάζων, καὶ πάλιν τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ τὰ αὐτὰ ἐχούσης οὐσίας, τῆς τε αὖ μεριστῆς γινομένης, Φιλόλαος δὲ ἀναγκαῖον τὰ ὄντα πάντα εἶμεν ἤτοι ἄπειρα ἢ περαίνοντα, ἢ περαίνοντα ἅμα καὶ ἄπειρα. Ὅπερ μᾶλλον συγκατατίθεται εἶναι, ἐκ περαινόντων ἅμα καὶ ἀπείρων συνεστάναι τὸν κόσμον, κατ' εἰκόνα δηλονότι τοῦ ἀριθμοῦ· καὶ γὰρ οὗτος σύμπας ἐκ μονάδος καὶ δυάδος σύγκειται, ἀρτίου τε καὶ περιττοῦ, ἃ δὴ ἰσότητός τε καὶ ἀνισότητος ἐμφαντικά, ταυτότητός τε καὶ ἑτερότητος, περαίνοντός τε καὶ ἀπείρου, ὡρισμένου τε καὶ ἀορίστου.

ιθ'. Ἵνα δὲ καὶ ἐναργῶς πεισθῶμεν περὶ τῶν λεγομένων, ὅτι ἄρα ἐκ μαχομένων καὶ ἐναντίων συνίστη τὰ ὄντα καὶ εἰκότως ἁρμονίαν ὑπεδέξατο (ἁρμονία δὲ πάντως ἐξ ἐναντίων γίνεται· ἔστι γὰρ ἁρμονία πολυμιγέων ἕνωσις καὶ διχοφρονούντων συμφρόνησις), ἐκθώμεθα ἐν δυσὶ παραλλήλοις ἐπὶ μῆκος στίχοις, μηκέτι ἰδίᾳ ἀρτίους ἀπὸ δυάδος καὶ περισσοὺς ἀπὸ μονάδος, ὡς πρὸ μικροῦ, ἀλλὰ τοὺς ἐξ αὐτῶν τούτων συσσωρευθέντων αὐτοῖς ἀποτελεσθέντας, τετραγώνους μὲν ἀπὸ περισσῶν, ἑτερομήκεις δὲ

ἀπὸ ἀρτίων· ἐνατενίζοντες γὰρ τῇ ἐνθέσει αὐτῶν θαυ
μάσομεν τὴν φιλαλληλίαν καὶ τὸ συλληπτικὸν ἀλλή
λοις εἰς τὸ ἀπογεννᾶν τὰ λοιπὰ καὶ ἐκτελεῖν, ἵνα εἰκό
τως ἐπινοῶμεν καὶ ἐν τῇ τῶν ὅλων φύσει ἐντεῦθέν πο
θεν τὸ τοιοῦτον ὑπὸ τῆς κοσμικῆς προνοίας συν
τελεῖσθαι. Ἔστωσαν οὖν οἱ δύο στίχοι τοιοῦτοι
ὁ μὲν τῶν τετραγώνων ἀπὸ μονάδος ά, δ', θ'
ιστ', κέ, λστ', μθ', ξδ', πά, ρ', ρκά, ρμδ', ρξθ'
ρσστ', σκέ· ὁ δὲ τῶν ἑτερομηκῶν ἀπὸ δυάδος ἀρ
χόμενος καὶ αὐτὸς οὕτως β', στ', ιβ', κ', λ', μβ'
νδ', οβ', ς', ρί, ρλβ', ρνστ', ρπβ', σί, σμ'. Πρῶ
τον μὲν οὖν πρῶτος πρώτου πυθμὴν πολλαπλά
σιος, δεύτερος δὲ δευτέρου ἡμιόλιος, τρίτος δὲ
τρίτου ἐπίτριτος, τέταρτος δὲ τετάρτου ἐπιτέταρ
τος, εἶτα ἐπίπεμπτος καὶ ἕβδομος, καὶ τοῦτο εἰς
ἄπειρον ἀναλόγως· διαφοραὶ δὲ αὐτῶν προκόψου
σι κατὰ τὸν συνεχῆ ἀπὸ μονάδος ἀριθμόν, μο
νὰς μὲν τῶν πρώτων, δυὰς δὲ τῶν δευτέρων, τριὰς
δὲ τῶν τρίτων καὶ ἀεὶ οὕτως· εἶτα δὲ ἐὰν ἀρξά
μενος ὁ τῶν τετραγώνων δεύτερος συγκρίνηται κα
τὰ συνδυασμὸν τῷ πρώτῳ τῶν ἑτερομηκῶν, καὶ ὁ
τρίτος δευτέρῳ, καὶ ὁ τέταρτος τρίτῳ, καὶ ἀκο
λούθως οἱ λοιποί, τοὺς αὐτοὺς ἀπαραλλάκτους λό
γους διατηρήσουσι τοῖς πρόσθεν, αἱ δὲ διαφορὰι
οὐκέτι ἀπὸ μονάδος, ἀλλ' ἀπὸ δυάδος ἄρξονται
προχωρεῖν αἱ αὐταί, καὶ κατὰ πρόβασιν δὲ ἐν τῇ
πρότερα συγκρίσει πρῶτος μὲν πρώτου πυθμὴν
πολλαπλάσιον ἕξει, δεύτερος δὲ δευτέρου δεύτερον
ἀπὸ πυθμένος ἡμιόλιον, τρίτος δὲ τρίτου τρίτον
ἀπὸ πυθμένος ἐπίτριτον, καὶ παραπλησίως προ
κόψουσιν οἱ ἑξῆς. Ἔτι δὲ οἱ μὲν τετράγωνοι πρὸς
ἑαυτοὺς διαφορὰς τοὺς περισσοὺς μόνον ἔχουσιν,
οἱ δὲ ἑτερομήκεις τοὺς ἀρτίους· ἂν δὲ καὶ τὸν
πρῶτον ἑτερομήκη μέσον ἀμφοτέρων τῶν πρώτων
τετραγώνων θῶμεν, τὸν δὲ δεύτερον τῶν ἑξῆς,
τὸν δὲ τρίτον τῶν μετ' αὐτούς, τὸν δὲ τέταρτον

τῶν ἐφεξῆς, τούτοις ὀφθήσονται εὐτακτότεραι αἱ σχέσεις ἐν τρισὶν ὅροις· ἣν γὰρ ὁ δ΄ πρὸς τὸν β΄ σχέσιν ἔχει, ταύτην ὁ β΄ πρὸς τὸν ἀ, καὶ ὡς ὁ ϑ΄ πρὸς τὸν στ΄ ἡμιόλιος, οὕτως ὁ στ΄ πρὸς τὸν δ΄, καὶ ὡς ὁ ιστ΄ πρὸς τὸν ιβ΄, οὕτως ὁ ιβ΄ πρὸς τὸν ϑ΄, καὶ τοῦτο ἐφεξῆς, τῶν ἀριθμῶν καὶ τῶν λόγων προκοπτόντων εὐτάκτως· ὡς γὰρ ὁ μείζων πρὸς τὸν μέσον, οὕτως ὁ μέσος πρὸς τὸν ἐλάχιστον ἔσται, καὶ οὐ τῷ αὐτῷ λόγῳ, ἀλλὰ ποικίλῳ ἀεὶ κατὰ προκοπήν· καὶ ἐπὶ πασῶν τῶν συζυγιῶν τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ὑπὸ τοῦ μέσου· καὶ ἅπαξ τὰ ἄκρα συνθεὶς τῷ μέσῳ ἐναλλάξ, τετράγωνον πάντως ποιήσεις, καί, τὸ πάντων τούτων γλαφυρώτατον, ἐξ ἀμφοτέρων συντιθεμένων τριγώνων γένεσις εὔτακτος γίνεται, σημαίνουσα, ὡς τῆς τῶν πάντων ἀρχῆς ἀρχικωτέρα ἡ τούτων φύσις, ἀ καὶ β΄, καὶ β΄ καὶ δ΄, καὶ δ΄ καὶ στ΄, καὶ στ΄ καὶ ϑ΄, καὶ ϑ΄ καὶ ιβ΄, καὶ ιβ΄ καὶ ιστ΄, καὶ ιστ΄ καὶ κ΄, καὶ ἀεὶ οὕτως οἱ τῶν πολυγώνων γεννητικοὶ τρίγωνοι εὔτακτοι γίνονται. 61

κ΄. Ἔτι δὲ καὶ πᾶς τετράγωνος προσλαβὼν τὴν ἑαυτοῦ πλευρὰν ἑνερομήκης γίνεται ἢ νὴ Δία ἀφαιρεθεὶς τὴν ἑαυτοῦ πλευρὰν· οὕτω τὸ ἕτερον καὶ ἐπὶ τὸ πλεῖον καὶ ἐπὶ τὸ ἔλαττον νοεῖται ταυτοῦ, εἴπερ κατὰ πρόσθεσιν καὶ ἀφαίρεσιν συντελεῖται, καθὸ καὶ τοῦ ἀνίσου τὰ δύο εἴδη τό τε μεῖζον καὶ τὸ ἔλαττον κατὰ πρόσθεσιν ἢ ἀφαίρεσιν προγινομένην τῷ ἴσῳ τὴν γένεσιν λαμβάνει. Ἱκανὸν καὶ τοῦτο τεκμήριον τοῦ ταυτότητος καὶ ἑτερότητος μετέχειν τὰ εἴδη ἀμφότερα, ἑτερότητος μὲν ἀόριστος, ταυτότητος δὲ ὡρισμένως, καὶ γενικῶς μὲν μονάδα καὶ δυάδα, ὑποβεβηκότως δὲ περισσὸν μὲν ταυτότητος διὰ τὸ μονάδι ὁμογενῆ εἶναι, ἄρτιον δὲ ἑτερότητος διὰ τὸ δυάδι. Καὶ ἔτι ἐναργέστερον, τετράγωνον μὲν διὰ τὸ σύνθεσιν

περισσοῦ εἶναι ταυτότητι συγγενῆ ὑπάρχειν, ἑτερομήκη δὲ διὰ τὸ ἀρτίου ἑτερότητι· καὶ γὰρ καὶ ὡς φιλάλληλα ἐν τοῖς δυσὶ στίχοις μεταδιδόασιν ἀλλήλοις τὰ δύο εἴδη ταῦτα παρὰ μέρος τῶν αὐτῶν διαφορῶν, εἰ καὶ μὴ τῶν αὐτῶν λόγων, καὶ ἀνάπαλιν τῶν αὐτῶν λόγων, εἰ καὶ μὴ τῶν αὐτῶν διαφορῶν· ὃ γὰρ μεταξὺ τοῦ δ′ καὶ β′ διπλασίως, τοῦτο ἐπιμορίως μεταξὺ τοῦ στ′ καὶ τοῦ δ′, καὶ πάλιν ὃ μεταξὺ τοῦ θ′ καὶ στ′ ἡμιολίως, τοῦ-
62 το μεταξὺ τοῦ ιβ′ καὶ θ′ ἐπιτρίτως, καὶ ἀεὶ οὕτως· καὶ ὃ ποιότητι ταυτόν, ποσότητι ἕτερον, καὶ τοὐναντίον ὃ ποσότητι ταυτόν, ποιότητι ἕτερον. Καὶ πάλιν, ὅτι ἀναγκαίως κατὰ πάσας τὰς σχέσεις ἡ αὐτὴ διαφορὰ τῶν δύο ὅρων μονάδι ἐξηλλαγμένως μέρος λεχθήσεται, τοῦ μὲν ἥμισυ, τοῦ δὲ τρίτον ὑπάρχουσα, ἢ τοῦ μὲν τρίτον, τοῦ δὲ τέταρτον, ἢ ἄλλως τοῦ μὲν τέταρτον, τοῦ δὲ πέμπτον, καὶ ἐφεξῆς οὕτως. Ὃ δὲ μάλιστα βεβαιώσει, ταυτότητος αἰτιώτατον εἶναι τὸν περισσόν, οὐδέποτε δὲ τὸν ἄρτιον, ἐκεῖνο παραδεικτέον ἐν πάσῃ ἀπὸ μονάδος ἀναλόγῳ ἐκθέσει, οἷον διπλασίῳ μὲν ἀ, β′, δ′, ή, ιστ′, λβ′, ξδ′, ρκή, σνστ′, τριπλασίῳ δὲ ἀ, γ′, θ′, κζ′, πά, σμγ′, ψκθ′, βρπζ′, καὶ μέχρι οὗ βούλει, πάντας εὑρήσεις ἐξ ἀνάγκης τοὺς ἐν περισσαῖς χώραις τετραγώνους, ἄλλους δὲ οὐκέτι οὐδεμιᾷ μηχανῇ, οὐδένα δὲ ἐν ἀρτίᾳ τετράγωνον, ἀλλὰ καὶ οἱ ἰσάκις ἴσοι ἰσάκις ἅπαντες, τουτέστιν, οἱ κύβοι τριχῇ διαστατοὶ ὄντες καὶ ταυτότητος ἐπὶ πλέον δοκοῦντες μετέχειν, ἔργον εἰσὶ περισσῶν, ἀλλ' οὐκ ἀρτίων, ὁ ἀ καὶ ὁ ή καὶ ὁ κζ′ καὶ ὁ ξδ′ καὶ ὁ ρκέ καὶ ὁ σιστ′ καὶ οἱ ἀνάλογον προχωροῦντες, καὶ ἁπλῇ γε καὶ ἀποικίλῳ ἐφόδῳ· ἐκτεθέντων γὰρ τῶν ἀπὸ μονάδος ἐπ' ἄπειρον συνεχῶν περισσῶν, ἐπισκόπει οὕτως, ὁ πρῶτος τὸν δυνάμει κύβον ποιεῖ, οἱ δὲ δύο μετ' ἐκεῖνον συντεθέντες τὸν δεύτερον, οἱ δὲ ἐπὶ τούτοις

τρεῖς τὸν τρίτον, οἱ δὲ συνεχεῖς τούτοις τέσσαρες τὸν τέταρτον, οἱ δὲ ἐφεξῆς τούτοις πέντε τὸν πέμπτον, καὶ οἱ ἑξῆς ἓξ τὸν ἕκτον, καὶ τοῦτο μέχρις ἀεί.

κά. Ἐπὶ δὲ τούτοις καιρὸς ἂν εἴη τὸν περὶ ἀναλογιῶν τόπον προσθέντας, ἀναγκαιότατον ὄντα εἰς τὰς φυσιολογίας καὶ εἰς τὰ μουσικά τε καὶ σφαιρικὰ καὶ γραμμικὰ θεωρήματα, οὐχ ἥκιστα δὲ καὶ εἰς τὰς τῶν παλαιῶν συναναγνώσεις, τέλος ἐπιθεῖναι τῇ ἀριθμητικῇ εἰσαγωγῇ τὸ ἁρμόζον ἅμα καὶ συμμετρώτατον. Ἔστιν οὖν ἀναλογία κυρίως δυοῖν ἢ καὶ πλειόνων λόγων σύλληψις εἰς τὸ αὐτό· κοινότερον δὲ δυοῖν ἢ καὶ πλειόνων σχέσεων, κἂν μὴ λόγῳ τῷ αὐτῷ ὑποτάσσωνται, διαφορᾷ δὲ ἤ τινι ἑτέρῳ. Λόγος μὲν οὖν ἐστὶ δύο ὅρων ἡ πρὸς ἀλλήλους σχέσις, σύνθεσις δὲ τῶν τοιούτων ἡ ἀναλογία, ὥστε ἐν ἐλαχίστοις ὅροις τρισὶν αὕτη συμμέμικται· δύναταί γε μὴν καὶ ἐν πλείοσι κατὰ 63
τὸν αὐτὸν λόγον προχωρεῖν· οἷον τοῦ ἑνὸς πρὸς τὰ δύο λόγος ἐστὶ δύο ὅρων ὑπάρχων, ὧν εἷς ὁ διπλάσιος, ἀλλὰ καὶ τοῦ β πρὸς τὸ δ ἕτερος λόγος ὅμοιος. Ἀναλογία ἄρα ἡ α, β, δ· λόγων γὰρ σύλληψις ἢ ὅρων τριῶν τοὐλάχιστον κατὰ τὸν αὐτὸν λόγον θεωρουμένων ἡ ἀναλογία ἐστί· καὶ ἐν πλείοσι δὲ καὶ ἐπιμηκεστέραις ἐκθέσεσι τὸ αὐτὸ δύναται θεωρεῖσθαι· προσαπτέσθω γὰρ τέταρτος ὅρος ὁ ἡ μετὰ τὸν δ πάλιν ἐν ὁμοίᾳ σχέσει· διπλάσιος γάρ· καὶ πάλιν μετὰ τὸν ἡ ὁ ιστ, καὶ ἀεὶ οὕτως. Ἐὰν μὲν οὖν ὁ αὐτὸς ὅρος ἀεὶ εἷς καὶ ἀπαράλλακτος πρὸς τοὺς παρ' ἑκάτερα αὐτοῦ ἀποκρίνηται, πρὸς μὲν τὸν μείζονα ὡς ὑπόλογος, πρὸς δὲ τὸν ἐλάσσονα ὡς πρόλογος, συνημμένη λέγεται ἡ τοιαύτη ἀναλογία, οἷον α, β, δ κατὰ ποιότητα· οἷος γὰρ ὁ δ πρὸς τὸν β, τοιοῦτος ὁ αὐτὸς β πρὸς τὸν α· καὶ ἀνάπαλιν, οἷος ὁ α πρὸς τὸν β, τοιοῦτος ὁ αὐτὸς β πρὸς τὸν δ·

κατὰ ποσότητα δέ, οἷον ά, β, γ· ὅσον γὰρ ὁ γ τοῦ β ὑπερέχει, τοσοῦτον καὶ αὐτὸς ὁ β τοῦ ά, καὶ ἐξ ἐναντίου, ὅσον ὁ ά τοῦ β ἐλαττοῦται, τοσοῦτον καὶ αὐτὸς ὁ β τοῦ γ. Ἐὰν δὲ ἕτερος μὲν ὅρος ὑπακούῃ πρὸς τὸν ἐλάττονα πρόλογος γινόμενος καὶ μείζων, ἕτερος δὲ καὶ μὴ ὁ αὐτὸς πρὸς τὸν μείζονα ὑπόλογός τε γινόμενος καὶ ἐλάττων, οὐκέτι συνημμένη, ἀλλὰ διεζευγμένη λέγεται ἡ τοιαύτη μεσότης τε καὶ ἀναλογία· οἷον κατὰ μὲν τὸ ποιόν, ά, β, δ, ἡ· ὡς γὰρ τὰ β πρὸς τὸ ά, οὕτω τὰ ἡ πρὸς τὰ δ, καὶ ἀνάπαλιν, ὡς τὸ ά πρὸς τὰ β, οὕτω τὸ δ πρὸς τὰ ἡ, ἐναλλάξ τε, ὡς τὸ ά πρὸς τὰ δ, οὕτω τὰ β πρὸς τὰ ἡ, ἢ ὡς τὰ δ πρὸς τὸ ά, οὕτω τὰ ἡ πρὸς τὰ β· κατὰ δὲ τὸ ποσὸν οὕτως, ά, β, δ· ὅσῳ γὰρ τὸ ά τοῦ β λείπεται, τοσούτῳ καὶ τὰ γ τοῦ δ, ἢ ὅσῳ τὰ δ τοῦ γ περισσεύει, τοσούτῳ καὶ τὰ β τοῦ ά, ἢ καὶ ἀναμίξ, ὅσῳ τὰ γ τοῦ ά, τοσούτῳ τὰ δ τοῦ β, ἢ ὅσῳ λείπεται τὸ ά τῶν γ, τοσούτῳ καὶ τὰ β τῶν δ.

κβ'. Εἰσὶν οὖν ἀναλογίαι αἱ μὲν πρῶται καὶ πᾶσι τοῖς παλαιοῖς ὁμολογούμεναι, Πυθαγόρᾳ καὶ Πλάτωνι καὶ Ἀριστοτέλει, τρεῖς πρώτισται ἀριθμητική, γεωμετρική, ἁρμονική, αἱ δὲ ταύταις ὑπεναντίαι ἄλλαι τρεῖς, ἰδίων μὴ τετευχυῖαι ὀνο-
64 μάτων, κοινότερον δὲ λεγόμεναι μεσότητες, τετάρτη, πέμπτη, ἕκτη· μεθ' ἃς καὶ ἄλλας τέσσαρας οἱ νεώτεροι εὗρον, συμπληροῦντες τὸν δέκατον ἀριθμόν, κατὰ τὸ τοῖς Πυθαγορικοῖς δοκοῦν ὡς τελειότατον, καθ' ὃν καὶ αἱ δέκα σχέσεις ὤφθησαν ἡμῖν πρὸ βραχέος ποσότητα λαμβάνουσαι, καὶ αἱ δέκα λεγόμεναι κατηγορίαι, καὶ τῶν ἡμετέρων χειρῶν καὶ ποδῶν κατὰ τὰ ἀκρωτήρια διαιρέσεις καὶ σχέσεις, καὶ ἕτερα μυρία, ἃ κατ' οἰκεῖον τόπον ἐν ἑτέροις ὀψόμεθα. Νῦν δὲ περὶ τῶν ἀναλογιῶν ἄνωθεν τεχνολογητέον, καὶ πρώτόν γε πε-

ρὶ τῆς κατὰ τὸ πόσον τὴν τῶν ὅρων σύγκρισιν οἰκειούσης ἀλλήλοις καὶ συνδεούσης, ἢ ἐστι κατὰ τὴν τῶν ὅρων πρὸς ἀλλήλους διαφοράν, ἴση κατὰ τὸ πόσον οὖσα· αὕτη δ' ἂν εἴη ἡ ἀριθμητική· ταύτης γὰρ ἴδιον προαπεδόθη τὸ ποσόν. Τίς οὖν ἡ αἰτία, ὅτι περὶ ταύτης πρώτης καὶ οὐ περὶ ἄλλης; ἢ δῆλον, ὅτι καὶ ἡ φύσις αὐτὴν πρὸ τῶν ἄλλων ἐμφαίνει· ἐν γὰρ τῇ τοῦ ἁπλοῦ ἀριθμοῦ φυσικῇ ἀπὸ μονάδος ἐκθέσει, μηδενὸς παραλειπομένου μηδ' ὑπεξαιρουμένου, σώζεται ὁ ταύτης μόνος λόγος· ἀλλὰ καὶ ἐν τοῖς ἔμπροσθεν ἀπεδείξαμεν συλλογισάμενοι καὶ αὐτὴν τὴν ἀριθμητικὴν εἰσαγωγὴν πρὸ πασῶν τῶν ἄλλων ὑπάρχειν, συναναιροῦσαν μὲν ἑαυτῇ ἐκείνας, οὐ συναναιρουμένην δέ, καὶ συνεπιφερομένην μὲν ἐκείναις, οὐ συνεπιφέρουσαν δέ· ὥστε εἰκότως καὶ ἡ ὁμώνυμος τῇ ἀριθμητικῇ μεσότης οὐκ ἀλόγως προηγήσεται τῶν ἐκείναις ὁμωνύμων μεσοτήτων, γεωμετρικῆς τε καὶ ἁρμονικῆς· τῶν γὰρ ἄλλων ὑπεναντίων ἐκθηλότατον ὅτι πολὺ μᾶλλον ἡγήσεται, ὥνπερ καὶ αὗται ἡγεμόνες. Πρωτίστη ἄρα καὶ ἐξ ἀρχῆς δικαιότατα ἡ ἀριθμητικὴ οὖσα φυσικῶς καὶ παρ' ἡμῶν τυγχανέτω διαρθρώσεως πρό γε τῶν ἄλλων.

κγ'. Ἔστιν οὖν ἀριθμητικὴ μεσότης, ὅταν τριῶν ἢ πλειόνων ὅρων ἐφεξῆς ἀλλήλοις κειμένων ἢ ἐπινοουμένων ἡ αὐτὴ κατὰ ποσότητα διαφορὰ εὑρίσκηται μεταξὺ τῶν ἐφεξῆς ὑπάρχουσα, μὴ μέντοι λόγος ὁ αὐτὸς ἐν τοῖς ὅροις πρὸς ἀλλήλους γίνηται, οἷον ἀ, β', γ', δ', ε', στ', ζ', η', θ', ι', ια', ιβ', ιγ'· ἐν γὰρ τῇ φυσικῇ ταύτῃ ἐκθέσει τοῦ ἀριθμοῦ συνεχῶς καὶ ἀνυπερβάτως ἐξεταζομένῃ εὑρίσκεται πᾶς ὁστισοῦν ὅρος δυοῖν ἀνὰ μέσον τεταγμένοις, τὴν ἀριθμητικὴν πρὸς αὐτοὺς διασώζων μεσότητα· ἴσαι γὰρ αἱ διαφοραὶ αὐτοῦ εἰσὶ πρὸς τοὺς ἑκατέρωθεν τεταγμένους, οὐ μὴν ἔτι καὶ λό- 65

γος ὁ αὐτὸς σώζεται ἐν αὐτοῖς. Ἐπιστάμεθα δέ, ὡς ἐν τῇ τοιαύτῃ ἐνθέσει συνημμένη τε καὶ διεζευγμένη γίνεται μεσότης· εἰ μὲν γὰρ ὁ αὐτὸς μέσος ὅρος πρόλογός τε καὶ ὑπόλογος πρὸς τοὺς ἑκατέρωθεν ὑπακούοι, συνημμένη ἂν εἴη, εἰ δὲ σὺν αὐτῷ ἕτερός τις, διεζευγμένη γίνεται μεσότης. Ἐὰν μὲν οὖν ἐκ τῆς ἐνθέσεως ταύτης τρεῖς ἀποτεμόμενοι οὑςτινασοῦν παραλλήλους κατὰ τὴν συνημμένην σκοπῶμεν, ἢ τέσσαρας ἢ πλείους κατὰ τὴν διεζευγμένην, μονὰς ἂν εἴη πάντων ἡ διαφορά, λόγοι δὲ ἕτεροι ἐκ παντός· ἐὰν δὲ μὴ παραλλήλους, ἀλλὰ διεχεῖς, κατ' ἴσην μέντοι παράλειψιν, πάλιν δὲ ἤτοι τρεῖς ἢ πλείονας, εἰ μὲν εἷς ὁ παραλειπόμενος εἴη καθ' ἑκάστην θέσιν ὅρου, θυὰς ἔσται ἡ διαφορὰ πάντων· καὶ πάλιν ἐν τρισὶ μὲν συνημμένη, ἐν πλείοσι δὲ διῃρημένη· εἰ δὲ δύο οἱ παραλειπόμενοι εἶεν, τριὰς πάντως ἡ διαφορὰ ἐν ἅπασι συνημμένοις τε καὶ διῃρημένοις, εἰ δὲ τρεῖς, τετράς, εἰ δὲ τέσσαρας, πεντάς, καὶ τοῦτο ἐφ' ὁποσονοῦν. Μετέχει ἄρα ἡ τοιαύτη ποσοῦ μὲν ἴσου ἐν ταῖς διαφοραῖς, ποιοῦ δὲ οὐκέτι ἴσου· διὰ τοῦτο ἀριθμητική· εἰ δ' ἔμπαλιν ποιοῦ μὲν ὁμοίου μετεῖχε, ποσοῦ δὲ οὔ, ἦν ἂν γεωμετρικὴ ἀντὶ ἀριθμητικῆς. Ἴδιον δὲ ὑπάρχει ταύτης τῆς μεσότητος, ὃ μηδεμιᾷ ἄλλῃ συμβέβηκε, τὸ κατὰ σύνθεσιν τῶν ἄκρων διπλάσιον τοῦ μέσου ἢ ἴσον τοῖς μέσοις εἶναι, ἄν τε συνημμένως ἄν τε διεζευγμένως σκοπῆται ἄν τε ἐναλλάξ· ἢ γὰρ τὸ μέσον σὺν ἑαυτῷ ἢ τὰ μέσα σὺν ἀλλήλοις ἴσα τῇ τῶν ἄκρων συνθέσει. Ἔτι καὶ ἄλλο ἔχει ἴδιον· ὃν γὰρ ἔχει λόγον ἕκαστος ὅρος πρὸς ἑαυτόν, τοῦτον αἱ διαφοραὶ πρὸς τὰς διαφοράς, τουτέστιν, ἐν ἰσότητί εἰσιν· ἔτε τὸ γλαφυρώτατον καὶ τοὺς πολλοὺς λεληθός, τὸ ὑπὸ τῶν ἄκρων γινόμενον συγκρινόμενον τῷ ἀπὸ τοῦ μέσου ἔλαττον αὐτοῦ εὑρίσκεται τῷ ὑπὸ τῶν διαφορῶν, ἐάν τε μονάδες ὦσιν ἐάν τε δυάδες ἐάν τε

τριάδες ἐάν τε τετράδες ἐάν τε ὁστιοῦν ἀριθμός· τέταρτον δὲ, ὃ καὶ οἱ πρόσθεν πάντες ἐσημειώσαντο, οἱ ἐν τοῖς ἐλάττοσιν ὅροις λόγοι συγκρινόμενοι πρὸς τοὺς ἐν τοῖς μείζοσι μείζονές εἰσι· δειχθήσονται δὲ ἐν τῇ ἁρμονικῇ ἐναντίως οἱ ἐν τοῖς μείζοσι μείζονες, καὶ οἱ ἐν τοῖς ἐλάττοσιν ἐλάττονες· διὰ τοῦτο ὑπεναντία ἡ ἁρμονικὴ μεσότης τῇ ἀριθμητικῇ, μεταίχμιον δὲ αὐτῶν, ὥσπερ ἀκροτήτων, ἡ γεωμετρική ἐστιν, ἔχουσα τοὺς ἐν τοῖς μείζοσιν ὅροις λόγους καὶ τοὺς ἐν τοῖς ἐλάττοσιν ἀλλήλοις ἴσους· ἐν μεσότητι δὲ ἡμῖν ὤφθη τὸ ἴσον τοῦ μείζονος καὶ τοῦ ἐλάττονος. 66

κδ'. Καὶ τόσα μὲν δὴ ἡμῖν περὶ τῆς ἀριθμητικῆς μεσότητος, ἡ δὲ ἐπὶ ταύτῃ συνεχὴς γεωμετρικὴ μεσότης, κυρίως ἀναλογία μόνη καλουμένη διὰ τὸ ἀνὰ τὸν αὐτὸν λόγον θεωρεῖσθαι πρὸς ἀλλήλους τοὺς ἐν αὐτῇ ὅρους· ἔστι δέ, ὅταν τριῶν ὅρων ἢ πλειόνων, ὡς ἔχει ὁ μέγιστος πρὸς τὸν ὑπ' αὐτόν, οὕτω καὶ αὐτὸς πρὸς τὸν ὑποβεβηκότα ἔχῃ, ἐὰν δὲ πλείονες ὅροι ὦσι, καὶ οὗτος πάλιν πρὸς τὸν ὑπ' αὐτόν, ποσότητι μέντοι μὴ τῇ αὐτῇ διαφέρωσιν ἀλλήλων, ἀλλὰ λόγου ποιότητι τῇ αὐτῇ, ἐναντίως ἢ ἐπὶ τῆς ἀριθμητικῆς ὤφθη. Οἷον ὑποδείγματος χάριν ἐκπεισθωσαν οἱ ἀπὸ μονάδος κατὰ τὸν διπλάσιον λόγον προχωροῦντες ά, β', δ', ή, ιστ', λβ', ξδ', καὶ ἐπ' ἄπειρον, ἢ τὸν τριπλασίονα, ά, γ', θ', κζ', πά, σμγ', καὶ ἑφεξῆς, ἢ κατὰ τετραπλάσιον ἢ πενταπλάσιον παραπλησίως τοῖς ἐκτεθεῖσιν· ἐν ἑκάστῳ γὰρ τούτων τῶν στίχων τρεῖς παράλληλοι ἢ τέσσαρες ἢ ὁσοιοῦν ληφθέντες τὴν γεωμετρικὴν πρὸς ἀλλήλους ἀποδώσουσιν ἀναλογίαν· ὡς ὁ πρῶτος πρὸς τὸν ὑπ' αὐτόν, οὕτω κἀκεῖνος πρὸς τὸν ὑπ' αὐτόν, καὶ πάλιν ἐκεῖνος πρὸς τὸν ἔτι ὑπ' αὐτόν, καὶ τοῦτο μέχρις οὗ θέλει τις, καὶ ἀναμίξ· οἷον β', δ', ή· ὃν γὰρ λόγον ἔχει ὁ ή πρὸς τὸν δ', τοῦτον καὶ ὁ δ' πρὸς τὸν

β′, καὶ ἀνάπαλιν· οὐ μὴν ἴσην ποσότητα μεταξὺ ἀλλήλων ἔχουσιν· ἢ πάλιν β′, δ′, ἡ, ιστ′· οὐ γὰρ μόνον ὁ ιστ′ πρὸς τὸν ἡ τὸν αὐτὸν τοῖς πρόσθεν ἔχει λόγον, εἰ καὶ μὴ διαφοράν, ἀλλὰ καὶ ἀναμὶξ τὴν ὁμοίαν διασώζει σχέσιν, ὡς ὁ ιστ′ πρὸς τὸν δ′, οὕτω καὶ ὁ ἡ πρὸς τὸν β′, καὶ ἔμπαλιν ὡς ὁ β′ πρὸς τὸν ἡ, οὕτω καὶ ὁ δ′ πρὸς τὸν ιστ′, καὶ διεζευγμένως, ὡς ὁ β′ πρὸς τὸν δ′, οὕτως ὁ ἡ πρὸς τὸν ιστ′, ἀναστρόφως τε καὶ κατὰ τὸ διεζευγμένον, ὡς ὁ ιστ′ πρὸς τὸν ά, οὕτω καὶ ὁ δ′ πρὸς τὸν β′· ἔχει γὰρ τὸν διπλάσιον λόγον. Ἴδιον
67 δὲ ἔχει ἡ γεωμετρικὴ μεσότης, ὃ μηδεμία τῶν λοιπῶν, τὸ τὰς τῶν ὅρων διαφορὰς πρὸς ἀλλήλας ἐν λόγῳ τῷ αὐτῷ εἶναι, ἐν ᾧ καὶ οἱ ὅροι πρὸς τοὺς συνεχεῖς, οἱ μείζονες πρὸς τοὺς ἐλάττονας, καὶ ἀνάπαλιν· ἔτι καὶ ἕτερον ἰδίωμα τὸ τοὺς μείζονας ὅρους διαφορὰς ἔχειν πρὸς τοὺς ἐλάττονας αὐτοὺς τοὺς ἐλάττονας καὶ κατὰ τὰ αὐτὰ διαφορὰν πρὸς διαφορὰν αὐτῇ τῇ ἐλάττονι διαφέρειν, ἐν διπλασίῳ λόγῳ ἐκτιθεμένων τῶν ὅρων, ἐν δὲ τριπλασίῳ διαφορὰν ἕξουσι δὶς τὸν ὑπ' αὐτὸν· οἱ ὅροι καὶ αἱ διαφοραί, ἐν τετραπλασίῳ δὲ τρίς, καὶ ἐν πενταπλασίῳ τετράκις, καὶ τοῦτο μέχρι παντός. Οὐ μόνον δὲ ἐν πολλαπλασίοις ἀναλογίαι γίνονται γεωμετρικαί, ἀλλὰ καὶ ἐν ἐπιμορίοις εἴδεσι πᾶσι καὶ ἐπιμερέσι καὶ μικτοῖς· καὶ τὸ ἐξαίρετον ἰδίωμα τῆς μεσότητος ταύτης ἐπὶ πασῶν σώζεται, τῶν μὲν συνημμένων τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ἀπὸ τοῦ μέσου, τῶν δὲ ἐν διαζεύξει ἢ καὶ ἐν πλείοσιν ὅροις, κἂν μὴ συνημμένοι ὦσιν, ἀρτιοταγεῖς δέ, τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ἀπὸ τῶν μέσων. Παράδειγμα δὲ τοῦ ἐν πάσαις ταῖς σχέσεσι πολυπλασίαις τε καὶ ἐπιμορίοις καὶ ἐπιμερέσι παντοίαις καὶ μικταῖς παντοίαις τὸ τῆς ἀναλογίας ταύτης ἰδίωμα σώζεσθαι ἔστω ἱκανὸν καὶ αὔταρκες ἡμῖν ἐκεῖνο, ἐν ᾧ ἀπὸ τῆς ἰσότητος ἐπλάσσομεν κατὰ

τὰ τρία προστάγματα πάντα τὰ τοῦ ἀνίσου εἴδη ἐξ ἀλλήλων, ὀρθῶς τε τιθεμένων καὶ ἀναστρεφομένων· ἑκάστη γὰρ πλάσις καὶ ἔκθεσις ἀναλογίαν ἐστὶ γεωμετρικήν, πάντα τὰ λεχθέντα ἰδιώματα περιέχουσα, καὶ τέταρτον τὸ ἓν τε μείζοσιν ὅροις ἓν τε ἐλάττοσι τὸν αὐτὸν διαφυλάττειν λόγον· ἀλλὰ καὶ ἐὰν τὸν κοινὸν στίχον ἑτερομηκῶν τε καὶ τετραγώνων ἐκθώμεθα, ἕνα παρ' ἕνα περιέχοντα τοὺς ἀμφοτέρους αὐτούς, εἶτα κατὰ τρεῖς ἀπὸ μονάδος ἀποτεμνόμενοι σκοπῶμεν, ἀεὶ τὸν τῶν προτέρων ὕστερον ἀρχὴν τῶν ὑστέρων τιθέμενοι, εὑρήσομεν ἀπὸ πολλαπλασίου σχέσεως, τουτέστι, διπλασίου πάσας τὰς ἐπιμορίους ἑξῆς ἐπιφαινομένας, ἡμιόλιον, εἶτα ἐπίτριτον, εἶτα ἐπιτέταρτον καὶ ἑφεξῆς. Εὐκαιρότατον δ' ἂν εἴη ἐνταῦθα γενομένους ἐπιμνησθῆναι παρακολουθήματος χρησιμεύοντος ἡμῖν εἰς Πλατωνικόν τι θεώρημα· οἱ μὲν γὰρ ἐπίπεδοι μιᾷ μεσότητι συνέχον- 69
ται πάντως, οἱ δὲ στερεοὶ δυσὶν ἀνάλογον μεμέναις· δύο γὰρ τετραγώνων συνεχῶν εἷς μόνος εὑρίσκεται μέσος, ἀναλογίαν σώζων γεωμετρικήν, πρόλογος μὲν πρὸς τὸν ἐλάττονα, ὑπόλογος δὲ πρὸς τὸν μείζονα, οὐδέποτε δὲ πλείονες. Δύο ἄρα διαστήματα θεωροῦμεν πρὸς ἑκάτερον τῶν ἄκρων αὐτοῦ τοῦ μέσου ἐν σχέσει λόγων ὁμοίων· πάλιν δὲ δύο κύβων συνεχῶν δύο μόνοι εὑρίσκονται ἀνάλογον μέσοι ὅροι κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν, πλείονες δὲ οὐδέποτε· τρία ἄρα διαστήματα, ἓν μὲν τὸ μεταξὺ τῶν μέσων πρὸς ἀλλήλους, δύο δὲ τὰ μεταξὺ τῶν ἄκρων πρὸς τοὺς μέσους ἑκατέρωθεν. Οὕτω τὰ μὲν στερεὰ σχήματα λέγεται τριχῇ διαστατά, τὰ δὲ ἐπίπεδα διχῇ, οἷον ὁ α καὶ ὁ δ ἐπίπεδοι, μέσος δὲ ἀνάλογον ὁ β, ἢ οἷον ὁ δ καὶ ὁ θ, δύο τετράγωνοι, μέσος δὲ αὐτῶν ἀνάλογον ὁ στ ἐν τῷ αὐτῷ λόγῳ ἐχόμενος ὑπὸ τοῦ μείζονος καὶ ἔχων τὸν ἐλάττονα, ἐν

ῷ καὶ διαφορὰ διαφορὰν ἔχει. Τούτου δ' αἴτιον, ὅτι αἱ τῶν δύο τετραγώνων πλευραί, ἑκατέρου μία ἰδία, αὐτὸν τὸν στ' ἅμα ἀμφότεραι ἐγέννησαν, ἐν δὲ κύβοις, οἷον τῷ ή καὶ τῷ κζ, μία μὲν οὐκέτι, δύο δὲ μεσότητες εὑρίσκονται ὅ τε εβ' καὶ ὁ ιή, ἐν τῷ αὐτῷ λόγῳ ἑαυτάς τε καὶ τοὺς ὅρους ποιοῦσαι, ἐν ᾧ καὶ αἱ διαφοραὶ αὐτῶν πρὸς ἀλλήλας εἰσί· καὶ τούτου δ' αἴτιον τὸ τῶν κυβικῶν πλευρῶν μίγδην σύστημα εἶναι τὰς δύο μεσότητας, δὶς δύο τρὶς καὶ τρὶς τρία δίς. Ἐὰν μὲν οὖν καθόλου τετράγωνος τετράγωνον λάβῃ, τουτέστι, πολυπλασιάσῃ, τετράγωνον πάντως ποιεῖ, ἐὰν δὲ τετράγωνος ἑτερομήκη ἢ ἑτερομήκης τετράγωνον, οὐδέποτε τετράγωνος ἀποτελεῖται, κἂν κύβος κύβον, πάντως κύβος γενήσεται, ἐὰν δὲ ἑτερομήκης κύβον ἢ κύβος ἑτερομήκη, οὐδέποτε κύβος, καθάπερ ἀμέλει ἂν ἄρτιος ἄρτιον πολυπλασιάσῃ, πάντως ἄρτιος γεννᾶται, κἂν περισσὸς περισσόν, πάντως περισσός, ἂν δὲ περισσὸς ἄρτιον ἢ ἄρτιος περισσόν, πάντως ὁ γινόμενος ἔσται ἄρτιος, οὐδέποτε δὲ περισσός. Ταῦτα δὲ τῆς οἰκείας σαφηνείας ἐπιλήψεται ἐν τῇ Πλατωνικῇ συναναγνώσει κατὰ τὸν τοῦ λεγομένου γάμου τόπον ἐν τῇ Πολιτείᾳ ἀπὸ προσώπου τῶν Μουσῶν παρεισαγομένου· ὥστε ἐπὶ τὴν τρίτην ἀναλογίαν τὴν καλουμένην ἁρμονικὴν μεταβάντες διαιρῶμεν.

κέ. Ἔστι δὲ ἡ τῇ τρίτῃ τάξει μεσότης ἁρμονικὴ καλουμένη, ὅταν ἐν τρισὶν ὅροις ὁ μέσος θεωρῆται πρὸς τοὺς ἄκρους μήτε, ἐν λόγῳ τῷ αὐτῷ ἐξεταζόμενος, τοῦ μὲν πρόλογος, τοῦ δὲ ὑπόλογος, ὡς ἐπὶ τῆς γεωμετρικῆς, μήτε ἐν διαστήμασι μὲν ἴσοις, λόγων δὲ ἑτερότητι, ὡς ἐπὶ τῆς ἀριθμητικῆς, ἀλλ' ὅταν, ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον ὅρον ἔχει, οὕτω καὶ ἡ τοῦ μεγίστου διαφορὰ παρὰ τὸν μέσον πρὸς τὴν τοῦ μέσου διαφορὰν παρὰ τὸν ἐλάχιστον, οἷον γ', δ', στ', ἡ

τάλιν β', γ', στ', καὶ ὅταν τῷ αὐτῷ μέρει ἑαυτοῦ ὁ μείζων τοῦ μέσου ὑπερέχῃ, ὁ δὲ ἐλάττων ὑπερέχηται· ὁ γὰρ στ' τοῦ δ' τῷ ἑαυτοῦ τρίτῳ ὑπερέχει· τρίτον γὰρ τοῦ στ' τὰ β'· καὶ ὁ γ' τοῦ δ' λείπεται τῷ ἑαυτοῦ τρίτῳ· τοῦ γὰρ τρία τρίτον τὸ ά· ἐπὶ μὲν γὰρ τοῦ προτέρου ὑποδείγματος οἵ τε ἄκροι ἐν διπλασίῳ λόγῳ καὶ αἱ τούτων πρὸς τὸν μέσον διαφοραὶ πάλιν ἐν τῷ αὐτῷ διπλασίῳ πρὸς ἀλλήλας, ἐν δὲ τῷ δευτέρῳ ἑκατέρα ἐν τριπλασίῳ. Ἰδίωμα δὲ ἔχει ὑπεναντίον, ὡς προέφαμεν, τῷ κατὰ τὴν ἀριθμητικήν· ἐκεῖ μὲν γὰρ ἐν τοῖς ἐλάττοσιν ὅροις μείζονες ἦσαν οἱ λόγοι, ἐλάττονες δὲ ἐν τοῖς μείζοσιν, ἐνθάδε δὲ ἀνάπαλιν οἱ μὲν ἐν τοῖς μείζοσι μείζονες, οἱ δὲ ἐν τοῖς ἐλάττοσιν ἐλάττονες, ἵνα ὡς ἐν μεσότητι ἀμφοῖν τῇ γεωμετρικῇ εἰκότως ἡ τῶν ἑκατέρων λόγων ἰσότης μεταίχμιον οὖσα τοῦ μείζονος καὶ ἐλάττονος ἐνθεωρῆται. Ἔτι καὶ ἐν μὲν τῇ ἀριθμητικῇ ὁ μέσος ἑαυτοῦ μέρει τῷ αὐτῷ μείζων τε καὶ ἐλάττων τῶν ἑκατέρωθι φαίνεται, αὐτῶν δὲ ἐκείνων ἄλλῳ καὶ ἄλλῳ μείζων ἢ ἐλάττων, ἐν δὲ τῇ ἁρμονικῇ ταύτῃ ὑπεναντίως· ἑαυτοῦ μὲν γὰρ ὁ μέσος ἑτέρῳ τε καὶ ἑτέρῳ μείζων τε καὶ ἐλάττων τῶν ἑκατέρωθί ἐστιν, αὐτῶν δὲ ἐκείνων ἑκατέρωθι πάντως τῷ αὐτῷ· ἤτοι γὰρ ἑκατέρων ἡμίσει ἢ ἀμφοτέρων τρίτῳ· ἡ δὲ γεωμετρικὴ ὡς ἐν μεταιχμίῳ ἀμφοῖν οὔτε ἐν τῷ μέσῳ μόνον οὔτε ἐν τοῖς ἄκροις μόνον, ἀλλὰ ἐν ἀμφοτέροις, μέσῳ καὶ ἄκρῳ. Ἔτι ἡ ἁρμονικὴ ἔχει ἴδιον συμβεβηκὸς τὸ τοὺς ἄκρους συντεθέντας καὶ πολυπλασιασθέντας ὑπὸ τοῦ μέσου διπλάσιον ἀποτελεῖν τοῦ ἐξ ἀλλήλων πολυπλασιασμοῦ. Ἐκλήθη δὲ ἁρμονικὴ μεσότης, ὅτι ἡ μὲν ἀριθμητικὴ ποσῷ διακρίνεται, ἰσότητα κατὰ τοῦτο ἐν τῇ τῶν ὅρων διαστάσει πρὸς ἀλλήλους παρεχομένη, ἡ δὲ γεω- 71
μετρικὴ ποιότητι, τὰς σχέσεις ὁμοίας κατὰ τὸ

ποιὸν τῶν ὅρων πρὸς ἀλλήλους ἀποδιδοῦσα, αὖτ
δὲ κατὰ τὸ πρὸς ἕτερόν πως, ἐν ἑτέροις καὶ ἑτ
ροις εἴδεσι φανταζομένη [ἐφεξῆς πάντων κατὰ συν
ἑχειαν κειμένων τῶν ἀριθμῶν ἀεὶ ὁ δεύτερος το
πρὸ αὐτοῦ ὑπερέχει μονάδι, ὁ δύο τοῦ ἑνός,
γ' τοῦ β', ὁ δ' τοῦ γ'· λόγοι δὲ οὐχ οἱ αὐτοί·
μὲν γὰρ δ' τοῦ γ' ἐστὶν ἐπίτριτος, ὁ δὲ γ' τ
β' ἡμιόλιος, ὁ δὲ δύο τῆς μονάδος διπλάσιος]
οὔτε γὰρ ἐν ὅροις μόνον οὔτε ἐν διαφοραῖς μό-
νον, ἀλλ' ἐκ μέρους μὲν ἐν ὅροις, ἐκ μέρους δ
ἐν διαφοραῖς· ὡς γὰρ ὁ μέγιστος πρὸς τὸν ἐλ-
χιστον, οὕτω καὶ ἡ τοῦ μεγίστου διαφορὰ παρ
τὸν μέσον πρὸς τὴν τοῦ ἐλαχίστου παρὰ τὸν α
τὸν μέσον, καὶ ἀνάπαλιν.

πστ'. Τὸ δὲ πρός τι ἐπέγνωμεν ἐν τῇ τ
ὄντος ἀνωτέρω φρασθείσῃ διαιρέσει τῆς ἁρμονι-
κῆς ἴδιον θεωρίας, ἀλλὰ καὶ οἱ μουσικοὶ τῶν ἐ
ἁρμονίᾳ συμφωνιῶν λόγοι ἐν ταύτῃ μάλιστα εὑ-
ρίσκονται τῇ μεσότητι· στοιχειωδέστατος μὲν γὰ
ὁ διὰ τεσσάρων ἐν ἐπιτρίτῳ λόγῳ, ὡς ὁ δ' πρ
τὸν γ', ὅρος πρὸς ὅρον, ἐν τῷ κατὰ τὸ διπλά-
σιον ὑποδείγματι ἡ διαφορὰ πρὸς τὴν διαφορὰ
ἐν τῷ κατὰ τὸ τριπλάσιον· τοῦ γὰρ στ' πρὸς τὸ
β' ἡ τοῦ στ' πρὸς τὸν γ', αὗται αἱ διαφοραί·
μετὰ δὲ τοῦτον εὐθὺς ὁ διὰ πέντε ὑπάρχων ἡμιό-
λιος τοῦ γ' πρὸς τὸν β' ἢ τοῦ στ' πρὸς τὸν δ',
ὅρου πρὸς ὅρον· εἶτα τούτων ἀμφοτέρων σύστη-
μα τοῦ τε ἡμιολίου καὶ τοῦ ἐπιτρίτου ὁ διὰ πα-
σῶν ἐφεξῆς αὐτοῖς κείμενος, ἐν διπλασίῳ ὑπάρχων
λόγῳ, ὡς ὁ στ' πρὸς τὸν γ' ἐν ἀμφοτέροις ὑπο-
δείγμασιν, ὅρος πρὸς ὅρον· ὁ δὲ ἐπὶ τούτῳ διὰ
πασῶν ἅμα καὶ διὰ πέντε τριπλάσιος, σῴζων
ἀμφοτέρων ἅμα τὸν λόγον, σύστημα ὑπάρχων
διπλασίου καὶ ἡμιολίου, ὥσπερ τοῦ στ' πρὸς τὸν
β', ὅρον πρὸς ὅρον, ἐν τῷ κατὰ τὸ τριπλάσιον

ὑποδείγματι, καὶ πάλιν διαφορᾶς πρὸς διαφορὰν
ἐν τῷ αὐτῷ, ἐν δὲ τῷ κατὰ τὸ διπλάσιον ὅρου
μεγίστου πρὸς διαφορὰν αὐτοῦ τε καὶ τοῦ μέσου,
ἢ διαφορᾶς τῶν ἄκρων πρὸς διαφορὰν τῶν ἐλατ-
τόνων· τελευταῖον δὲ καὶ μέγιστον σύμφωνον τὸ
λεγόμενον δὶς διὰ πασῶν, ὡςανεὶ δὶς διπλάσιον,
ὑπάρχον δὲ ἐν λόγῳ τετραπλασίῳ, ὡς ὁ μέσος
ὅρος τοῦ ἐν διπλασίῳ, τοῦ ἐξ ἡμιολίου τε καὶ
ἐπιτρίτου, πρὸς τὴν τῶν ἐλαττόνων διαφορὰν ἢ 72
τῶν ἄκρων διαφορὰ τοῦ ἐν τριπλασίῳ πρὸς τὴν
τῶν ἐλαττόνων. Τινὲς δὲ αὐτὴν ἁρμονικὴν καλεῖ-
σθαι νομίζουσιν, ἀκολούθως Φιλολάῳ ἀπὸ τοῦ
παρέπεσθαι πάσῃ γεωμετρικῇ ἁρμονίᾳ, γεωμετρι-
κὴν δὲ ἁρμονίαν φασὶ τὸν κύβον ἀπὸ τοῦ κατὰ
τρία διαστήματα ἡρμόσθαι ἰσάκις ἴσα ἰσάκις· ἐν
γὰρ παντὶ κύβῳ ἥδε ἡ μεσότης πάντως ἐνοπτρίζε-
ται· πλευραὶ μὲν γὰρ παντὸς κύβου εἰσὶν ιβ',
γωνίαι δὲ ἡ, ἐπίπεδα δὲ στ'· μεσότης ἄρα ὁ ἡ
τῶν στ' καὶ τῶν ιβ' κατὰ τὴν ἁρμονικήν· ὡς γὰρ
οἱ ἄκροι πρὸς ἀλλήλους, οὕτως ἡ τοῦ μεγίστου
παρὰ τὸν μέσον διαφορὰ πρὸς τὴν τοῦ μέσου πα-
ρὰ τὸν ἐλάχιστον διαφοράν, καὶ πάλιν ὁ μέσος
ἄλλῳ μὲν ἑαυτοῦ μέρει μείζων ἐστὶ τοῦ ἐλάττο-
νος, ἄλλῳ δὲ ἐλάττων τοῦ μείζονος, ἐνὶ μέντοι
καὶ τῷ αὐτῷ αὐτῶν τῶν ἄκρων μέρει καὶ μείζων καὶ
ἐλάττων ὑπάρχει· καὶ ἑτέρως οἱ ἄκροι συντεθέν-
τες καὶ ὑπὸ τοῦ μέσου πολυπλασιασθέντες διπλά-
σιον ἀποτελοῦσι τοῦ ὑπὸ τῶν ἄκρων πρὸς ἀλλή-
λους γινομένου· καὶ ἡ μὲν διὰ τεσσάρων ἐστὶ τοῦ
ἡ πρὸς τὸν στ'· ἐπίτριτος γάρ· ἡ δὲ διὰ πέντε
τοῦ ιβ' πρὸς τὸν ἡ· ἡμιόλιος γάρ· ἡ δὲ διὰ πα-
σῶν ἀμφοῖν οὖσα σύστημα ἡ τοῦ ιβ' πρὸς τὸν
στ'· διπλασία γάρ· ἡ δὲ διὰ πασῶν ἅμα καὶ διὰ
πέντε τριπλάσιος οὖσα ἡ τῶν ἄκρων διαφορὰ
ὑπάρχει πρὸς τὴν τῶν ἐλαττόνων· ἡ δὲ δὶς διὰ
πασῶν ὁ μέσος ὅρος πρὸς τὴν ἑαυτοῦ καὶ τοῦ

ἐλάττονος διαφοράν. Οἰκειότατα ἄρα ἁρμονικὴ ὠνομάσθη.

κζ'. Ὥσπερ δὲ ἐν τῇ τοῦ μουσικοῦ κανόνος κατατομῇ χορδῆς μιᾶς τεταμένης ἢ αὐλοῦ μήκους ἑνὸς ἐκκειμένου τῶν ἄκρων ἀμεταβλήτων ὑπαρχόντων, μεταλαμβανούσης δὲ τῆς μεσότητος ἐν μὲν τῷ αὐλῷ διὰ τρυπημάτων, ἐν δὲ τῇ χορδῇ δι' ὑπαγωγέως, ἄλλον ἐξ ἄλλου τρόπον ἀποτελεῖσθαι δύνανται αἱ προλεχθεῖσαι τρεῖς μεσότητες, ἀριθμητική τε καὶ γεωμετρικὴ καὶ ἁρμονική, ἵνα εἰκότως καὶ ἐτυμώτατα ἂν καλοῖντο, διὰ τὴν τοῦ μέσου μετάστασίν τε καὶ μεταγωγὴν διαφόρως συντελούμεναι, οὕτω καὶ ἐν ἀριθμητικοῖς δυσὶν ὅροις, εἴτε περισσοῖς ἀμφοτέροις εἴτε καὶ ἀρτίοις, εὔλογόν ἐστι καὶ ἅμα δυνατὸν μένουσιν ἐν τῷ αὐτῷ καὶ μὴ μεταβιβαζομένοις μεσότητα καθ' ἑκάστην τῶν τριῶν ἐφαρμόζουσαν ἐντάσσεσθαι· κατὰ
73 μὲν ἀριθμητικὴν ἴσῳ ὑπερέχουσαν καὶ ὑπερεχομένην, κατὰ δὲ γεωμετρικὴν ὁμοίῳ λόγῳ ἀδιαφορουμένην, κατὰ δὲ ἁρμονικὴν τῷ αὐτῷ μέρει τῶν ἄκρων τῶν αὐτῶν μείζονά τε καὶ ἐλάττονα. Προκείσθωσαν δὴ πρῶτον ἄρτιοι δύο ὅροι, ὧν μεταξὺ αἱ τρεῖς μεσότητες, ζητητέον, πῶς ἂν ταγεῖεν καὶ τίνες, καὶ ἔστωσαν ὅ τε ι καὶ ὁ μ'. Πρῶτον οὖν τὴν ἀριθμητικὴν ἐναρμόζω, καὶ ἔστιν ὁ πέ, καὶ τὰ παρακολουθήματα αὐτῆς σώζεται πάντα κἀνταῦθα· ὡς γὰρ ἕκαστος ὅρος πρὸς ἑαυτόν, οὕτω καὶ διαφορὰ πρὸς διαφοράν, ἐν ἰσότητι· καὶ ὅσῳ ὁ μείζων τοῦ μέσου, τοσούτῳ καὶ οὗτος τοῦ ἐλάττονος ὑπερφέρει· καὶ ἡ τῶν ἄκρων σύνθεσις διπλασία τοῦ μέσου· καὶ ὁ τῶν ἐλαττόνων ὅρων λόγος μείζων τοῦ τῶν μειζόνων· καὶ τὸ ὑπὸ τῶν ἄκρων ἔλαττον τοῦ ἀπὸ τοῦ μέσου τῷ ἀπὸ τῶν διαφορῶν τετραγώνῳ· καὶ ὁ μέσος τῷ αὐτῷ ἰδίῳ μέρει καὶ μείζων ὑπάρχει καὶ ἐλάττων τῶν ἄκρων, ἐν δὲ τοῖς ἄκροις θεωρουμένῳ ἑτέρῳ καὶ ἑτέρῳ.

Ἐὰν δὲ τὴν κ' μεσότητα ἐμβάλλω εἰς τοὺς προκειμένους ἀρτίους ὅρους, τὰ τῆς γεωμετρικῆς ἰδιώματα ἀναπύπτει, ἐξαπόλλυνται δὲ τὰ τῆς ἀριθμητικῆς· οἷον γὰρ ὁ μείζων πρὸς τὸν μέσον, τοιοῦτος καὶ ὁ μέσος πρὸς τὸν ἐλάχιστον· καὶ τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ἀπὸ τοῦ μέσου· καὶ αἱ διαφοραὶ πρὸς ἀλλήλας ἐν τῷ αὐτῷ λόγῳ θεωροῦνται, ἐν ᾧ καὶ οἱ ὅροι· καὶ οὔτε ἐν τοῖς ἄκροις καθαροῖς ἡ τοῦ μέρους ταυτότης καθ' ὑπεροχὴν καὶ ἔλλειψιν οὔτε ἐν τῷ μέσῳ καθαρῷ, ἀλλ' ἐν τῷ μέσῳ καὶ θατέρῳ τῶν ἄκρων, παρὰ μέρος· ἔν τε μείζοσιν ὅροις καὶ ἐλάττοσιν ἴσος λόγος. Ἐὰν δὲ τὸν ισστ' ἀντιλάβω μέσον ὅρον, πάλιν τὰ μὲν τῶν προτέρων δυοῖν μεσοτήτων ἰδιώματα ἐκποδὼν γίνεται, τὰ δὲ τῆς ἁρμονικῆς ἀναφαίνεται, πρὸς τοὺς αὐτοὺς διαμένοντα δύο ἀρτίους ὅρους· ὥσπερ γὰρ ὁ μείζων πρὸς τὸν ἐλάχιστον, οὕτως ἡ τῶν μειζόνων διαφορὰ πρὸς τὴν τῶν ἐλαττόνων· καὶ ὅσοις μέρεσιν ὁ μέσος ἐλάττων τοῦ μείζονος ἐν αὐτῷ τῷ μείζονι θεωρουμένοις, τοσούτοις ὁ αὐτὸς τοῦ ἐλάττονος μείζων ἐν αὐτῷ τῷ ἐλάττονι θεωρουμένοις· καὶ ὁ μὲν ἐν τοῖς μείζοσιν ὅροις λόγος μείζων, ἐλάττων δ' ὁ ἐν τοῖς ἐλάττοσιν, ὅπερ οὐκ ἐπ' ἄλλης· καὶ συντεθέντα τὰ ἄκρα καὶ ὑπὸ τοῦ μέσου πολυπλασιασθέντα διπλάσιον ἀποτελεῖ τοῦ ὑπὸ τῶν ἄκρων γινομένου. Ἐὰν δὲ οἱ 74
δύο ἄκροι ὅροι μὴ ἄρτιοι ἐκτεθῶσιν, ἀλλὰ περισσοί, οἷον ε, μέ, ὁ μὲν αὐτὸς ὅρος ὁ κέ ἀριθμητικὴν ποιήσει· αἴτιον δὲ τούτου, ὅτι ἑφ' ἑκάτερα αὐτοῦ ἴσῳ ἀριθμῷ ὑπερέβησάν τε καὶ ὑπέβησαν οἱ ὅροι, τὴν αὐτὴν πρὸς αὐτὸν διατηροῦντες διαφορᾶς ποσότητα· ὁ δὲ ιέ ἀντεντεθεὶς τὴν γεωμετρικὴν ἀποδίδωσι, τριπλάσιός τε καὶ ὑποτριπλάσιος ἑκατέρου ὤν· ὁ δὲ θ' μεταλαβὼν τὸ μέσος εἶναι τὴν ἁρμονικὴν ἀποδίδωσι· οἷς γὰρ μέρεσι μείζων τοῦ ἐλάττονός ἐστι, τέσσαρσι πέμ-

πτοις αὐτοῦ τοῦ ἐλάττονος, τούτοις τοῦ μείζονος ἐλάττων ἐστὶν ἐν αὐτῷ τῷ μείζονι θεωρουμένοις· τέσσαρσι γὰρ πέμπτοις· καὶ πάντα τὰ προλεχθέντα ἰδιώματα ἐφαρμόζων σύμφωνα εὑρήσεις. Ἔφοδος δέ, ὡς ἂν ἐντέχνως πλάσσοις τοὺς προδειχθέντας ὅρους κατὰ τὰς τρεῖς ἀναλογίας, τοιαύτη ἔστω σοι· ἐπ' ἀμφοτέρων τῶν προχειρισθέντων ὅρων περισσῶν τε καὶ ἀρτίων ἀριθμητικὴν μὲν εὑρήσεις, συνθεὶς τὰ ἄκρα τούτων τὸ ἥμισυ μέσον τάξων, ἢ τὴν τοῦ μείζονος ὑπεροχὴν πρὸς ἐλάττονα δίχα τεμὼν καὶ προσθεὶς τῷ ἐλάττονι, μέσον ἕξεις· γεωμετρικὴν δέ, τοῦ ὑπὸ τῶν ἄκρων προμήκους τὴν τετραγωνικὴν πλευρὰν λαβών, μέσον ὅρον ποιήσεις· ἢ ὃν ἔχουσι πρὸς ἀλλήλους οἱ ὅροι λόγον ἰδών, τοῦτον δίχα τεμὼν μέσον ποίησον, οἷον ἐπὶ τετραπλασίου διπλάσιον· ἁρμονικὴν δέ, τὴν τῶν ἄκρων διαφορὰν ποιητέον ἐπὶ τὸν ἐλάττονα, καὶ τὸν γενόμενον παραβλητέον ἐπὶ τὸν σύνθετον ἐκ τῶν ἄκρων, εἶτα τὸ πλάτος τῆς παραβολῆς προσθετέον τῷ ἐλάττονι, καὶ ἔσται ὁ γενόμενος ἁρμονικὴ μεσότης.

κή. Καὶ τάδε μὲν περὶ τῶν παρὰ τοῖς παλαιοῖς τεθρυλλημένων τριῶν ἀναλογιῶν, ἃς καὶ ἐπιτηδὲς σαφέστερον καὶ πλατύτερον διηρθρώσαμεν, ὅτι πολλάκις τε καὶ ποικιλώτερον ἐντυγχάνειν ἦν αὐταῖς ἐν τοῖς ἀναγνώσμασι· τὰς δ' ἑξῆς ἐπιτμητέον οὐ πάνυ φερομένας παρὰ τοῖς ἀρχαίοις, ἀλλὰ εἰς μόνην ἐμπειρίαν ἡμῶν αὐτῶν καὶ τὸ οἰονεὶ πλῆρες τοῦ συλλογισμοῦ παραλαμβανομένας. Εἰσὶ δὲ αὗται τάξει ἐνφερόμεναι ὑφ' ἡμῶν κατὰ ὑπεναντίωσιν τὴν πρὸς τὰς πεφρασμένας ἀρχετύπους τρεῖς, εἴπερ καὶ ἐξ αὐτῶν τούτων ἀναπλάσσονται, τάξεως τυγχάνουσαι ὁμοίας. Τετάρτη μὲν ἡ καὶ ὑπεναντία λεγομένη διὰ τὸ ἀντικεῖσθαι καὶ
75 ἀντιπεπονθέναι τῇ ἁρμονικῇ, ὑπάρχει, ὅταν ἐν τρισὶν ὅροις ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον,

οὕτως ἡ τῶν ἐλαττόνων διαφορὰ πρὸς τὴν τῶν μειζόνων ἔχῃ, οἷον γ', ε', στ'· ἐν γὰρ διπλασίῳ τὰ συγκριθέντα ὁρᾶται· φανερὸν δέ, καθ' ἃ ἠναντίωται τῇ ἁρμονικῇ· τῶν γὰρ αὐτῶν ἄκρων ἀμφοτέραις ὑπαρχόντων καὶ ἐν διπλασίῳ γε λόγῳ, ἐν μὲν τῇ πρὸ ταύτης ἡ τῶν μειζόνων ὑπεροχὴ πρὸς τὴν τῶν ἐλαττόνων τὸν αὐτὸν ἔσωζε λόγον, ἐνταῦθα δὲ ἀνάπαλιν ἡ τῶν ἐλαττόνων πρὸς τὴν τῶν μειζόνων· ἴδιον δὲ καὶ ταύτης ἰστέον ἐκεῖνο τὸ διπλάσιον ἀποτελεῖσθαι τὸ ὑπὸ τοῦ μείζονος καὶ μέσου πρὸς τὸ ὑπὸ τοῦ μέσου καὶ ἐλαχίστου· τοῦ γὰρ πεντάκις τρεῖς διπλάσιον τὸ ἑξάκις πέντε. Αἱ δὲ δύο μεσότητες πέμπτη καὶ ἕκτη παρὰ τὴν γεωμετρικὴν ἐπλάσθησαν ἀμφότεραι, διαφέρουσι δ' ἀλλήλων οὕτως· ἡ μὲν πέμπτη ἐστίν, ὅταν ἐν τρισὶν ὅροις ὡς ὁ μέσος πρὸς τὸν ἐλάχιστον, οὕτω καὶ ἡ αὐτῶν τούτων διαφορὰ πρὸς τὴν τοῦ μεγίστου πρὸς τὸν μέσον, οἷον β', δ', ε· διπλάσιος γὰρ ὁ μὲν δ' τοῦ β', μέσος ὅρος τοῦ ἐλαχίστου, ὁ δὲ β' πρὸς τὸν ἀ, ἐλαχίστων διαφορὰ πρὸς διαφορὰν μεγίστων· ὃ δ' ὑπεναντίαν αὐτὴν τῇ γεωμετρικῇ ποιεῖ, ἐκεῖνό ἐστιν, ὅτι ἐπὶ μὲν ἐκείνης ὡς ὁ μέσος πρὸς τὸν ἐλάττονα, οὕτως ἡ τοῦ μείζονος ὑπεροχὴ παρὰ τὸν μέσον πρὸς τὴν τοῦ μέσου παρὰ τὸν ἐλάττονα, ἐπὶ δὲ ταύτης ἀνάπαλιν, ὡς ὁ μέσος πρὸς τὸν ἐλάχιστον, οὕτως ἡ τοῦ ἐλάττονος πρὸς τὴν τοῦ μείζονος· ἴδιον δ' ὅμως καὶ ταύτης ἐστὶ τὸ διπλάσιον γίνεσθαι τὸ ὑπὸ τοῦ μεγίστου καὶ μέσου τοῦ ὑπὸ τοῦ μεγίστου καὶ ἐλαχίστου· τὸ γὰρ πεντάκις δ' διπλάσιον τοῦ πεντάκις β'. Ἡ δὲ ἕκτη γίνεται, ὅταν ἐν τρισὶν ὅροις ᾖ ὡς ὁ μέγιστος πρὸς τὸν μέσον, οὕτως ἡ τοῦ μέσου παρὰ τὸν ἐλάχιστον ὑπεροχὴ πρὸς τὴν τοῦ μεγίστου παρὰ τὸν μέσον, οἷον ἀ, δ', στ'· ἐν ἡμιολίῳ γὰρ ἑκάτερα λόγῳ· ἐοικυῖα δ' αἰτία καὶ ταύτῃ τῆς πρὸς τὴν γεωμετρικὴν ὑπεν-

ανσιότητος· ἀναστρέφει γὰρ κἀνταῦθα ἡ τῶν λόγων ὁμοιότης, ὡς ἐπὶ τῆς πέμπτης. Καὶ αἱ μὲν παρὰ τοῖς πρόσθεν θρυλλούμεναι ἓξ μεσότητες αἵδε εἰσί, τρεῖς μὲν αἱ πρωτότυποι μέχρι Πλάτωνος καὶ Ἀριστοτέλους ἄνωθεν ἀπὸ Πυθαγόρου διαμείνασαι, τρεῖς δ' ἕτεραι ἐκείναις ὑπεναντίαι τοῖς μετ' ἐκείνους ὑπομνηματογράφοις τε καὶ αἱρετι-
76 σταῖς ἐν χρήσει γενόμεναι· τέσσαρας δέ τινας ἑτέρας μεταπινοῦντες, τοὺς τούτων ὅρους τε καὶ διαφορὰς ἐπεξεύρόν τινες, οὐ πάνυ ἐμφανταζομένας τοῖς τῶν παλαιῶν συγγράμμασιν, ἀλλὰ περιεργότερον λελεπτολογημένας, ἃς ὅμως πρὸς τὸ μὴ δοκεῖν ἀγνοεῖν ἐπιτροχαστέον τῇδέ πη. Πρώτη μὲν γὰρ αὐτῶν, ἑβδόμη δὲ ἐν τῇ πασῶν συντάξει, ἐστίν, ὅταν ᾖ ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον, οὕτω καὶ ἡ τῶν αὐτῶν διαφορὰ πρὸς τὴν τῶν ἐλαττόνων, οἷον θ', ή, στ'· ἡμιόλιος γὰρ ὁ λόγος ἐν ἑκατέρᾳ συγκρίσει ὁρᾶται. Ὀγδόη δὲ μεσότης, ἥτις τούτων δευτέρα ἐστί, γίνεται, ὅταν, ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον, οὕτως ἡ τῶν ἄκρων διαφορὰ πρὸς τὴν τῶν μειζόνων διαφοράν, οἷον στ', ζ', θ'· καὶ αὕτη γὰρ ἡμιολίους ἔχει τοὺς δύο λόγους. Ἡ δὲ ἐννάτη μὲν ἐν τῇ τῶν πασῶν συντάξει, τρίτη δὲ ἐν τῷ τῶν ἐφευρημένων ἀριθμῷ, ὑπάρχει, ὅταν, τριῶν ὅρων ὄντων, ὃν λόγον ἔχει ὁ μέσος πρὸς τὸν ἐλάχιστον, τοῦτον καὶ ἡ τῶν ἄκρων ὑπεροχὴ πρὸς τὴν τῶν ἐλαχίστων ἔχῃ, ὡς δ', στ', ζ'. Ἡ δὲ ἐπὶ πάσαις δεκάτη μὲν συλλήβδην, τετάρτη δὲ ἐν τῇ τῶν νεωτερικῶν ἐκθέσει, ὁρᾶται, ὅταν ἐν τρισὶν ὅροις ᾖ ὡς ὁ μέσος πρὸς τὸν ἐλάχιστον, οὕτω καὶ ἡ διαφορὰ τῶν ἄκρων πρὸς τὴν διαφορὰν τῶν μειζόνων, οἷον γ', ε, ή· ἐπιδιμερὴς γὰρ ὁ ἐν ἑκατέρᾳ συζυγίᾳ λόγος. Ἐπὶ κεφαλαίου τοίνυν οἱ τῶν δέκα ἀναλογιῶν ὅροι ἐκπεισθωσαν ὑφ' ἓν παράδειγμα πρὸς τὸ εὐσύνοπτον, πρώτης ά, β', γ', δευτέρας ά, β', δ', τρίτης

γ', δ', στ', τετάρτης γ', ε, στ', πέμπτης β', δ', ε, ἕκτης ά, δ', στ', ἑβδόμης στ', ή, θ', ὀγδόης στ', ζ', θ', ἐννάτης δ', στ', ζ', δεκάτης γ', ε, ή.

κθ'. Λοιπὸν καὶ περὶ τῆς τελειοτάτης καὶ τριχῆ διαστατῆς πασῶν τε περιεκτικῆς ἐν βραχεῖ διαρθρῶσαι μεσότητος, χρησιμωτάτης οὔσης εἰς πᾶσαν τὴν ἐν μουσικῇ καὶ φυσιολογίᾳ προκοπήν· κυρίως γὰρ αὕτη καὶ ὡς ἀληθῶς ἁρμονία ἂν λεχθείη μόνη παρὰ τὰς ἄλλας, εἴπερ μὴ ἐπίπεδος μηδὲ μιᾷ μόνῃ μεσότητι συνδεομένη, ἀλλὰ δυσίν, ἵν' οὕτω τριχῇ διϊστάνοιτο, ὡς ὁ κύβος ἁρμονία πρὸ βραχέος ἐσαφηνίσθη. Ὅταν τοίνυν δύο ὅρων ἄκρων τριχῇ διαστατῶν ἀμφοτέρων, εἴτε ἰσάκις ἴσων ἰσάκις, ἵνα κύβοι ὦσιν, ἢ ἰσάκις ἴσων ἀνισάκις, ἵνα ἢ δοκίδες ἢ πλινθίδες ὦσιν, εἴτε ἀνισάκις ἀνίσων ἀνισάκις, ἵνα σκαληνοί, δύο εὑρί- 77.
σκωνται ἀνὰ μέσον ἄλλοι ὅροι ἐναλλὰξ τοὺς αὐτοὺς σώζοντες λόχους καὶ ἀναμίξ, ὥστε, ὁποτερουοῦν αὐτῶν τὴν ἁρμονικὴν σώζοντος ἀναλογίαν, τὸν λοιπὸν ἀποτελεῖν τὴν ἀριθμητικήν· ἀνάγκη γὰρ οὕτω διακειμένων τῶν δ' ἐπιφαίνεσθαι τὴν γεωμετρικὴν ἐμπλέγδην ἀμφοτέραις ταῖς μεσότησιν ἐξεταζομένην, ὡς ὁ μέγιστος πρὸς τὸν τρίτον ἀπ' αὐτοῦ, οὕτως ὁ ὑπ' αὐτὸν δεύτερος πρὸς τὸν τέταρτον· τὸ γὰρ τοιοῦτον τὸ ὑπὸ τῶν μέσων ἴσον ποιεῖ τῷ ὑπὸ τῶν ἄκρων· πάλιν δὲ ἂν ὁ μέγιστος πρὸς τὸν ὑπ' αὐτὸν ἐν τοσαύτῃ δειχθῇ διαφορᾷ, ἐν ὅσῃ καὶ αὐτὸς οὗτος πρὸς τὸν ἐλάχιστον, ἀριθμητικὴ ἡ τοιαύτη ἐξέτασις γίνεται, καὶ ἡ τῶν ἄκρων σύνθεσις διπλασία τοῦ μέσου· ἐὰν δ' ὁ μέσος τῷ αὐτῷ μέρει τῶν ἄκρων αὐτῶν ὑπερέχῃ καὶ ὑπερέχηται, ἁρμονική, καὶ τὸ ὑπὸ τοῦ μέσου καὶ τῆς τῶν ἄκρων συνθέσεως διπλάσιον τοῦ ὑπὸ τῶν ἄκρων. Ὑπόδειγμα δὲ αὐτῆς ἔστω τοιοῦτον στ', ή, θ', ιβ'· οὐκοῦν ὁ μὲν στ' σκαληνὸς ἀπὸ τοῦ ἅπαξ δύο τρίς, ὁ δὲ ιβ' ἀπὸ

γος ὁ αὐτὸς σώζεται ἐν αὐτοῖς. Ἐπιστάμεθα δέ, ὡς ἐν τῇ τοιαύτῃ ἐκθέσει συνημμένη τε καὶ διεζευγμένη γίνεται μεσότης· εἰ μὲν γὰρ ὁ αὐτὸς μέσος ὅρος πρόλογός τε καὶ ὑπόλογος πρὸς τοὺς ἑκατέρωθεν ὑπακούοι, συνημμένη ἂν εἴη, εἰ δὲ σὺν αὐτῷ ἕτερός τις, διεζευγμένη γίνεται μεσότης. Ἐὰν μὲν οὖν ἐκ τῆς ἐκθέσεως ταύτης τρεῖς ἀποτεμόμενοι οὑστινασοῦν παραλλήλους κατὰ τὴν συνημμένην σκοπῶμεν, ἢ τέσσαρας ἢ πλείους κατὰ τὴν διεζευγμένην, μονὰς ἂν εἴη πάντων ἡ διαφορά, λόγοι δὲ ἕτεροι ἐκ παντός· ἐὰν δὲ μὴ παραλλήλους, ἀλλὰ διεχεῖς, κατ' ἴσην· μέντοι παραλείψιν, πάλιν δὲ ἤτοι τρεῖς ἢ πλείονας, εἰ μὲν εἷς ὁ παραλειπόμενος εἴη καθ' ἑκάστην θέσιν ὅρου, θυὰς ἔσται ἡ διαφορὰ πάντων· καὶ πάλιν ἐν τρισὶ μὲν συνημμένη, ἐν πλείοσι δὲ διηρημένη· εἰ δὲ δύο οἱ παραλειπόμενοι εἶεν, τριὰς πάντως ἡ διαφορὰ ἐν ἅπασι συνημμένοις τε καὶ διηρημένοις, εἰ δὲ τρεῖς, τετράς, εἰ δὲ τέσσαρας, πεντάς, καὶ τοῦτο ἐφ' ὁποσονοῦν. Μετέχει ἄρα ἡ τοιαύτη ποσοῦ μὲν ἴσου ἐν ταῖς διαφοραῖς, ποιοῦ δὲ οὐκέτι ἴσου· διὰ τοῦτο ἀριθμητική· εἰ δ' ἔμπαλιν ποιοῦ μὲν ὁμοίου μετεῖχε, ποσοῦ δὲ οὔ, ἦν ἂν γεωμετρικὴ ἀντὶ ἀριθμητικῆς. Ἴδιον δὲ ὑπάρχει ταύτης τῆς μεσότητος, ὃ μηδεμιᾷ ἄλλῃ συμβέβηκε, τὸ κατὰ σύνθεσιν τῶν ἄκρων διπλάσιον τοῦ μέσου ἢ ἴσον τοῖς μέσοις εἶναι, ἄν τε συνημμένως ἄν τε διεζευγμένως σκοπῆται ἄν τε ἐναλλάξ· ἢ γὰρ τὸ μέσον σὺν ἑαυτῷ ἢ τὰ μέσα σὺν ἀλλήλοις ἴσα τῇ τῶν ἄκρων συνθέσει. Ἔτι καὶ ἄλλο ἔχει ἴδιον· ὃν γὰρ ἔχει λόγον ἕκαστος ὅρος πρὸς ἑαυτόν, τοῦτον αἱ διαφοραὶ πρὸς τὰς διαφοράς, τουτέστιν, ἐν ἰσότητί εἰσιν· ἔτι τὸ γλαφυρώτατον καὶ τοὺς πολλοὺς λεληθός, τὸ ὑπὸ τῶν ἄκρων γινόμενον συγκρινόμενον τῷ ἀπὸ τοῦ μέσου ἔλαττον αὐτοῦ εὑρίσκεται τῷ ὑπὸ τῶν διαφορῶν, ἐάν τε μοναδες ὦσιν ἐάν τε δυάδες ἐάν τε

τριάδες ἐάν τε τετράδες ἐάν τε ὁστιοῦν ἀριθμός· τέταρτον δὲ, ὃ καὶ οἱ πρόσθεν πάντες ἐσημεκέσαντο, οἱ ἐν τοῖς ἐλάττοσιν ὅροις λόγοι συγκρινόμενοι πρὸς τοὺς ἐν τοῖς μείζοσι μείζονές εἰσι· δειχθήσονται δὲ ἐν τῇ ἁρμονικῇ ἐναντίως οἱ ἐν τοῖς μείζοσι μείζονες, καὶ οἱ ἐν τοῖς ἐλάττοσιν ἐλάττονες· διὰ τοῦτο ὑπεναντία ἡ ἁρμονικὴ μεσότης τῇ ἀριθμητικῇ, μεταίχμιον δὲ αὐτῶν, ὥσπερ ἀκροτήτων, ἡ γεωμετρική ἐστιν, ἔχουσα τοὺς ἐν τοῖς μείζοσιν ὅροις λόγους καὶ τοὺς ἐν τοῖς ἐλάττοσιν ἀλλήλοις ἴσους· ἐν μεσότητι δὲ ἡμῖν ὤφθη τὸ ἴσον τοῦ μείζονος καὶ τοῦ ἐλάττονος. 66

κδ'. Καὶ τόσα μὲν δὴ ἡμῖν περὶ τῆς ἀριθμητικῆς μεσότητος, ἡ δὲ ἐπὶ ταύτῃ συνεχὴς γεωμετρικὴ μεσότης, κυρίως ἀναλογία μόνη καλουμένη διὰ τὸ ἀνὰ τὸν αὐτὸν λόγον θεωρεῖσθαι πρὸς ἀλλήλους τοὺς ἐν αὐτῇ ὅρους· ἔστι δέ, ὅταν τριῶν ὅρων ἢ πλειόνων, ὡς ἔχει ὁ μέγιστος πρὸς τὸν ὑπ' αὐτόν, οὕτω καὶ αὐτὸς πρὸς τὸν ὑποβεβηκότα ἔχῃ, ἐὰν δὲ πλείονες ὅροι ὦσι, καὶ οὗτος πάλιν πρὸς τὸν ὑπ' αὐτόν, ποσότητι μέντοι μὴ τῇ αὐτῇ διαφέρωσιν ἀλλήλων, ἀλλὰ λόγου ποιότητι τῇ αὐτῇ, ἐναντίως ἢ ἐπὶ τῆς ἀριθμητικῆς ὤφθη. Οἷον ὑποδείγματος χάριν ἐκπεισθωσαν οἱ ἀπὸ μονάδος κατὰ τὸν διπλάσιον λόγον προχωροῦντες ά, β', δ', η', ιστ', λβ', ξδ', καὶ ἐπ' ἄπειρον, ἢ τὸν τριπλασίονα, ά, γ', θ', κζ', πά, σμγ', καὶ ἐφεξῆς, ἢ κατὰ τετραπλάσιον ἢ πενταπλάσιον παραπλησίως τοῖς ἐκτεθεῖσιν· ἐν ἑκάστῳ γὰρ τούτων τῶν στίχων τρεῖς παράλληλοι ἢ τέσσαρες ἢ ὁσοιοῦν ληφθέντες τὴν γεωμετρικὴν πρὸς ἀλλήλους ἀποδώσουσιν ἀναλογίαν· ὡς ὁ πρῶτος πρὸς τὸν ὑπ' αὐτόν, οὕτω κἀκεῖνος πρὸς τὸν ὑπ' αὐτόν, καὶ πάλιν ἐκεῖνος πρὸς τὸν ἔτι ὑπ' αὐτόν, καὶ τοῦτο μέχρις οὗ θέλει τις, καὶ ἀναμίξ· οἷον β', δ', η'· ὃν γὰρ λόγον ἔχει ὁ η πρὸς τὸν δ', τοῦτον καὶ ὁ δ' πρὸς τὸν

β', καὶ ἀνάπαλιν· οὐ μὴν ἴσην ποσότητα μεταξὺ ἀλλήλων ἔχουσιν· ἢ πάλιν β', δ', ἡ, ιστ'· οὐ γὰρ μόνον ὁ ιστ' πρὸς τὸν ἡ τὸν αὐτὸν τοῖς πρόσθεν ἔχει λόγον, εἰ καὶ μὴ διαφοράν, ἀλλὰ καὶ ἀναμὶξ τὴν ὁμοίαν διασώζει σχέσιν, ὡς ὁ ιστ' πρὸς τὸν δ', οὕτω καὶ ὁ ἡ πρὸς τὸν β', καὶ ἔμπαλιν ὡς ὁ β' πρὸς τὸν ἡ, οὕτω καὶ ὁ δ' πρὸς τὸν ιστ', καὶ διεζευγμένως, ὡς ὁ β' πρὸς τὸν δ', οὕτως ὁ ἡ πρὸς τὸν ιστ', ἀναστρόφως τε καὶ κατὰ τὸ διεζευγμένον, ὡς ὁ ιστ' πρὸς τὸν ά, οὕτω καὶ ὁ δ' πρὸς τὸν β'· ἔχει γὰρ τὸν διπλάσιον λόγον. Ἴδιον
67 δὲ ἔχει ἡ γεωμετρικὴ μεσότης, ὃ μηδεμία τῶν λοιπῶν, τὸ τὰς τῶν ὅρων διαφορὰς πρὸς ἀλλήλας ἐν λόγῳ τῷ αὐτῷ εἶναι, ἐν ᾧ καὶ οἱ ὅροι πρὸς τοὺς συνεχεῖς, οἱ μείζονες πρὸς τοὺς ἐλάττονας, καὶ ἀνάπαλιν· ἔτι καὶ ἕτερον ἰδίωμα τὸ τοὺς μείζονας ὅρους διαφορὰς ἔχειν πρὸς τοὺς ἐλάττονας αὐτοὺς τοὺς ἐλάττονας καὶ κατὰ τὰ αὐτὰ διαφορὰν πρὸς διαφορὰν αὐτῇ τῇ ἐλάττονι διαφέρειν, ἐν διπλασίῳ λόγῳ ἐκτιθεμένων τῶν ὅρων, ἐν δὲ τριπλασίῳ διαφορὰν ἕξουσι δὶς τὸν ὑπ' αὐτὸν· οἱ ὅροι καὶ αἱ διαφοραί, ἐν τετραπλασίῳ δὲ τρίς, καὶ ἐν πενταπλασίῳ τετράκις, καὶ τοῦτο μέχρι παντός. Οὐ μόνον δὲ ἐν πολλαπλασίοις ἀνάλογίαι γίνονται γεωμετρικαί, ἀλλὰ καὶ ἐν ἐπιμορίοις εἴδεσι πᾶσι καὶ ἐπιμερέσι καὶ μικτοῖς· καὶ τὸ ἐξαίρετον ἰδίωμα τῆς μεσότητος ταύτης ἐπὶ πασῶν σώζεται, τῶν μὲν συνημμένων τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ἀπὸ τοῦ μέσου, τῶν δὲ ἐν διαζεύξει ἢ καὶ ἐν πλείοσιν ὅροις, κἂν μὴ συνημμένοι ὦσιν, ἀρτιοταγεῖς δέ, τὸ ὑπὸ τῶν ἄκρων ἴσον τῷ ἀπὸ τῶν μέσων. Παράδειγμα δὲ τοῦ ἐν πάσαις ταῖς σχέσεσι πολυπλασίαις τε καὶ ἐπιμορίοις καὶ ἐπιμερέσι παντοίαις καὶ μικταῖς παντοίαις τὸ τῆς ἀναλογίας ταύτης ἰδίωμα σώζεσθαι ἔστω ἱκανὸν καὶ αὐτάρκες ἡμῖν ἐκεῖνο, ἐν ᾧ ἀπὸ τῆς ἰσότητος ἐπλάσσομεν κατὰ

τὰ τρία προστάγματα πάντα τὰ τοῦ ἀνίσου εἴδη ἐξ ἀλλήλων, ὀρθῶς τε τιθεμένων καὶ ἀναστρεφομένων· ἑκάστη γὰρ πλάσις καὶ ἔκθεσις ἀναλογίαν ἐστὶ γεωμετρικήν, πάντα τὰ λεχθέντα ἰδιώματα περιέχουσα, καὶ τέταρτον τὸ ἓν τε μείζοσιν ὅροις ἓν τε ἐλάττοσι τὸν αὐτὸν διαφυλάττειν λόγον· ἀλλὰ καὶ ἐὰν τὸν κοινὸν στίχον ἑτερομηκῶν τε καὶ τετραγώνων ἐκθώμεθα, ἕνα παρ' ἕνα περιέχοντα τοὺς ἀμφοτέρους αὐτούς, εἶτα κατὰ τροῖς ἀπὸ μονάδος ἀποτεμνόμενοι σκοπῶμεν, ἀεὶ τὸν τῶν προτέρων ὕστερον ἀρχὴν τῶν ὑστέρων τιθέμενοι, εὑρήσομεν ἀπὸ πολλαπλασίου σχέσεως, τουτέστι, διπλασίου πάσας τὰς ἐπιμορίους ἑξῆς ἐπιφαινομένας, ἡμιόλιον, εἶτα ἐπίτριτον, εἶτα ἐπιτέταρτον καὶ ἑφεξῆς. Εὐκαιρότατον δ' ἂν εἴη ἐνταῦθα γενόμενους ἐπιμνησθῆναι παρακολουθήματος χρησιμεύοντος ἡμῖν εἰς Πλατωνικόν τι θεώρημα· οἱ μὲν γὰρ ἐπίπεδοι μιᾷ μεσότητι συνέχον- 69
ται πάντως, οἱ δὲ στερεοὶ δυσὶν ἀνάλογον κειμέναις· δύο γὰρ τετραγώνων συνεχῶν εἷς μόνος εὑρίσκεται μέσος, ἀναλογίαν σώζων γεωμετρικήν, πρόλογος μὲν πρὸς τὸν ἐλάττονα, ὑπόλογος δὲ πρὸς τὸν μείζονα, οὐδέποτε δὲ πλείονες. Δύο ἄρα διαστήματα θεωροῦμεν πρὸς ἑκάτερον τῶν ἄκρων αὐτοῦ τοῦ μέσου ἐν σχέσει λόγων ὁμοίων· πάλιν δὲ δύο κύβων συνεχῶν δύο μόνοι εὑρίσκονται ἀνάλογον μέσοι ὅροι κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν, πλείονες δὲ οὐδέποτε· τρία ἄρα διαστήματα, ἓν μὲν τὸ μεταξὺ τῶν μέσων πρὸς ἀλλήλους, δύο δὲ τὰ μεταξὺ τῶν ἄκρων πρὸς τοὺς μέσους ἑκατέρωθεν. Οὕτω τὰ μὲν στερεὰ σχήματα λέγεται τριχῇ διαστατά, τὰ δὲ ἐπίπεδα διχῇ, οἷον ὁ ά καὶ ὁ δ' ἐπίπεδοι, μέσος δὲ ἀνάλογον ὁ β', ἢ οἷον ὁ δ' καὶ ὁ θ', δύο τετράγωνοι, μέσος δὲ αὐτῶν ἀνάλογον ὁ στ' ἐν τῷ αὐτῷ λόγῳ ἐχόμενος ὑπὸ τοῦ μείζονος καὶ ἔχων τὸν ἐλάττονα, ἐν

ᾧ καὶ διαφορὰ διαφορὰν ἔχει. Τούτου δ' αἴτιον, ὅτι αἱ τῶν δύο τετραγώνων πλευραί, ἑκατέρου μία ἰδία, αὐτὸν τὸν στ' ἅμα ἀμφότεραι ἐγέννησαν, ἐν δὲ κύβοις, οἷον τῷ ή καὶ τῷ κζ, μία μὲν οὐκέτι, δύο δὲ μεσότητες εὑρίσκονται ὅ τε εβ' καὶ ὁ ιή, ἐν τῷ αὐτῷ λόγῳ ἑαυτάς τε καὶ τοὺς ὅρους ποιοῦσαι, ἐν ᾧ καὶ αἱ διαφοραὶ αὐτῶν πρὸς ἀλλήλας εἰσί· καὶ τούτου δ' αἴτιον τὸ τῶν κυβικῶν πλευρῶν μίγδην σύστημα εἶναι τὰς δύο μεσότητας, δὶς δύο τρὶς καὶ τρὶς τρία δίς. Ἐὰν μὲν οὖν καθόλου τετράγωνος τετράγωνον λάβῃ, τουτέστι, πολυπλασιάσῃ, τετράγωνον πάντως ποιεῖ, ἐὰν δὲ τετράγωνος ἑτερομήκη ἢ ἑτερομήκης τετράγωνον, οὐδέποτε τετράγωνος ἀποτελεῖται, κἂν κύβος κύβον, πάντως κύβος γενήσεται, ἐὰν δὲ ἑτερομήκης κύβον ἢ κύβος ἑτερομήκη, οὐδέποτε κύβος, καθάπερ ἀμέλει ἂν ἄρτιος ἄρτιον πολυπλασιάσῃ, πάντως ἄρτιος γεννᾶται, κἂν περισσὸς περισσόν, πάντως περισσός, ἂν δὲ περισσὸς ἄρτιον ἢ ἄρτιος περισσόν, πάντως ὁ γινόμενος ἔσται ἄρτιος, οὐδέποτε δὲ περισσός. Ταῦτα δὲ τῆς οἰκείας σαφηνείας ἐπιλήψεται ἐν τῇ Πλατωνικῇ συναναγνώσει κατὰ τὸν τοῦ λεγομένου γάμου τόπον ἐν τῇ Πολιτείᾳ ἀπὸ προσώπου τῶν Μουσῶν παρεισαγομένου· ὥστε ἐπὶ τὴν τρίτην ἀναλογίαν τὴν καλουμένην ἁρμονικὴν μεταβάντες διαιρῶμεν.

κέ. Ἔστι δὲ ἡ τῇ τρίτῃ τάξει μεσότης ἁρμονικὴ καλουμένη, ὅταν ἐν τρισὶν ὅροις ὁ μέσος θεωρῆται πρὸς τοὺς ἄκρους μήτε, ἐν λόγῳ τῷ αὐτῷ ἐξεταζόμενος, τοῦ μὲν πρόλογος, τοῦ δὲ ὑπόλογος, ὡς ἐπὶ τῆς γεωμετρικῆς, μήτε ἐν διαστήμασι μὲν ἴσοις, λόγων δὲ ἑτερότητι, ὡς ἐπὶ τῆς ἀριθμητικῆς, ἀλλ' ὅταν, ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον ὅρον ἔχει, οὕτω καὶ ἡ τοῦ μεγίστου διαφορὰ παρὰ τὸν μέσον πρὸς τὴν τοῦ μέσου διαφορὰν παρὰ τὸν ἐλάχιστον, οἷον γ', δ', στ', ἡ

πάλιν β', γ', στ', καὶ ὅταν τῷ αὐτῷ μέρει ἑαυτοῦ μείζων τοῦ μέσου ὑπερέχῃ, ὁ δὲ ἐλάττων ὑπερέχηται· ὁ γὰρ στ' τοῦ δ' τῷ ἑαυτοῦ τρίτῳ ὑπερέχει· τρίτον γὰρ τοῦ στ' τὰ β'· καὶ ὁ γ' τοῦ δ' λείπεται τῷ ἑαυτοῦ τρίτῳ· τοῦ γὰρ τρία τρίτον τὸ ά· ἐπὶ μὲν γὰρ τοῦ προτέρου ὑποδείγματος οἵ τε ἄκροι ἐν διπλασίῳ λόγῳ καὶ αἱ τούτων πρὸς τὸν μέσον διαφοραὶ πάλιν ἐν τῷ αὐτῷ διπλασίῳ πρὸς ἀλλήλας, ἐν δὲ τῷ δευτέρῳ ἑκατέρα ἐν τριπλασίῳ. Ἴδιωμα δὲ ἔχει ὑπεναντίον, ὡς προέφαμεν, τῷ κατὰ τὴν ἀριθμητικήν· ἐκεῖ μὲν γὰρ ἐν τοῖς ἐλάττοσιν ὅροις μείζονες ἦσαν οἱ λόγοι, ἐλάττονες δὲ ἐν τοῖς μείζοσιν, ἐνθάδε δὲ ἀνάπαλιν οἱ μὲν ἐν τοῖς μείζοσι μείζονες, οἱ δὲ ἐν τοῖς ἐλάττοσιν ἐλάττονες, ἵνα ὡς ἐν μεσότητι ἀμφοῖν τῇ γεωμετρικῇ εἰκότως ἡ τῶν ἑκατέρων λόγων ἰσότης μεταίχμιον οὖσα τοῦ μείζονος καὶ ἐλάττονος ἐνθεωρῆται. Ἔτι καὶ ἐν μὲν τῇ ἀριθμητικῇ ὁ μέσος ἑαυτοῦ μέρει τῷ αὐτῷ μείζων τε καὶ ἐλάττων τῶν ἑκατέρωθι φαίνεται, αὐτῶν δὲ ἐκείνων ἄλλῳ καὶ ἄλλῳ μείζων ἢ ἐλάττων, ἐν δὲ τῇ ἁρμονικῇ ταύτῃ ὑπεναντίως· ἑαυτοῦ μὲν γὰρ ὁ μέσος ἑτέρῳ τε καὶ ἑτέρῳ μείζων τε καὶ ἐλάττων τῶν ἑκατέρωθί ἐστιν, αὐτῶν δὲ ἐκείνων ἑκατέρωθι πάντως τῷ αὐτῷ· ἤτοι γὰρ ἑκατέρων ἡμίσει ἢ ἀμφοτέρων τρίτῳ· ἡ δὲ γεωμετρικὴ ὡς ἐν μεταιχμίῳ ἀμφοῖν οὔτε ἐν τῷ μέσῳ μόνον οὔτε ἐν τοῖς ἄκροις μόνον, ἀλλὰ ἐν ἀμφοτέροις, μέσῳ καὶ ἄκρῳ. Ἔτι ἡ ἁρμονικὴ ἔχει ἴδιον συμβεβηκὸς τὸ τοὺς ἄκρους συντεθέντας καὶ πολυπλασιασθέντας ὑπὸ τοῦ μέσου διπλάσιον ἀποτελεῖν τοῦ ἐξ ἀλλήλων πολυπλασιασμοῦ. Ἐκλήθη δὲ ἁρμονικὴ μεσότης, ὅτι ἡ μὲν ἀριθμητικὴ ποσῷ διακρίνεται, ἰσότητα κατὰ τοῦτο ἐν τῇ τῶν ὅρων διαστάσει πρὸς ἀλλήλους παρεχομένη, ἡ δὲ γεω- 71
μετρικὴ ποιότητι, τὰς σχέσεις ὁμοίας κατὰ τὸ

ποιὸν τῶν ὅρων πρὸς ἀλλήλους ἀποδιδοῦσα, αὖτ
δὲ κατὰ τὸ πρὸς ἕτερόν πως, ἐν ἑτέροις καὶ ἑτ
ροις εἴδεσι φανταζομένη [ἐφεξῆς πάντων κατὰ συν
ἑχειαν κειμένων τῶν ἀριθμῶν ἀεὶ ὁ δεύτερος τα
πρὸ αὐτοῦ ὑπερέχει μονάδι, ὁ δύο τοῦ ἑνός,
γ' τοῦ β', ὁ δ' τοῦ γ'· λόγοι δὲ οὐχ οἱ αὐτοί·
μὲν γὰρ δ' τοῦ γ' ἐστὶν ἐπίτριτος, ὁ δὲ γ' τ
β' ἡμιόλιος, ὁ δὲ δύο τῆς μονάδος διπλάσιος]
οὔτε γὰρ ἐν ὅροις μόνον οὔτε ἐν διαφοραῖς μό-
νον, ἀλλ' ἐκ μέρους μὲν ἐν ὅροις, ἐκ μέρους δ
ἐν διαφοραῖς· ὡς γὰρ ὁ μέγιστος πρὸς τὸν ἐλά-
χιστον, οὕτω καὶ ἡ τοῦ μεγίστου διαφορὰ παρ
τὸν μέσον πρὸς τὴν τοῦ ἐλαχίστου παρὰ τὸν αὐ-
τὸν μέσον, καὶ ἀνάπαλιν.

πστ'. Τὸ δὲ πρός τι ἐπέγνωμεν ἐν τῇ τῶ
ὄντος ἀνωτέρω φρασθείσῃ διαιρέσει τῆς ἁρμονι-
κῆς ἴδιον θεωρίας, ἀλλὰ καὶ οἱ μουσικοὶ τῶν ἐ
ἁρμονίᾳ συμφωνιῶν λόγοι ἐν ταύτῃ μάλιστα εὑ-
ρίσκονται τῇ μεσότητι· στοιχειωδέστατος μὲν γὰ
ὁ διὰ τεσσάρων ἐν ἐπιτρίτῳ λόγῳ, ὡς ὁ δ' πρὸ
τὸν γ', ὅρος πρὸς ὅρον, ἐν τῷ κατὰ τὸ διπλά-
σιον ὑποδείγματι ἡ διαφορὰ πρὸς τὴν διαφορὰ
ἐν τῷ κατὰ τὸ τριπλάσιον· τοῦ γὰρ στ' πρὸς τὸ
β' ἡ τοῦ στ' πρὸς τὸν γ', αὗται αἱ διαφοραί·
μετὰ δὲ τοῦτον εὐθὺς ὁ διὰ πέντε ὑπάρχων ἡμιό-
λιος τοῦ γ' πρὸς τὸν β' ἢ τοῦ στ' πρὸς τὸν δ',
ὅρου πρὸς ὅρον· εἶτα τούτων ἀμφοτέρων σύστη-
μα τοῦ τε ἡμιολίου καὶ τοῦ ἐπιτρίτου ὁ διὰ πα-
σῶν ἐφεξῆς αὐτοῖς κείμενος, ἐν διπλασίῳ ὑπάρχων
λόγῳ, ὡς ὁ στ' πρὸς τὸν γ' ἐν ἀμφοτέροις ὑπο-
δείγμασιν, ὅρος πρὸς ὅρον· ὁ δὲ ἐπὶ τούτῳ διὰ
πασῶν ἅμα καὶ διὰ πέντε τριπλάσιος, σῴζων
ἀμφοτέρων ἅμα τὸν λόγον, σύστημα ὑπάρχων
διπλασίου καὶ ἡμιολίου, ὥσπερ τοῦ στ' πρὸς τὸν
β', ὅρον πρὸς ὅρον, ἐν τῷ κατὰ τὸ τριπλάσιον

ὑποδείγματι, καὶ πάλιν διαφορᾶς πρὸς διαφορὰν
ἐν τῷ αὐτῷ, ἐν δὲ τῷ κατὰ τὸ διπλάσιον ὅρου
μεγίστου πρὸς διαφορὰν αὐτοῦ τε καὶ τοῦ μέσου,
ἢ διαφορᾶς τῶν ἄκρων πρὸς διαφορὰν τῶν ἐλατ-
τόνων· τελευταῖον δὲ καὶ μέγιστον σύμφωνον τὸ
λεγόμενον δὶς διὰ πασῶν, ὡσανεὶ δὶς διπλάσιον,
ὑπάρχον δὲ ἐν λόγῳ τετραπλασίῳ, ὡς ὁ μέσος
ὅρος τοῦ ἐν διπλασίῳ, τοῦ ἐξ ἡμιολίου τε καὶ
ἐπιτρίτου, πρὸς τὴν τῶν ἐλαττόνων διαφορὰν ἢ 72
τῶν ἄκρων διαφορὰ τοῦ ἐν τριπλασίῳ πρὸς τὴν
τῶν ἐλαττόνων. Τινὲς δὲ αὐτὴν ἁρμονικὴν καλεῖ-
σθαι νομίζουσιν, ἀκολούθως Φιλολάῳ ἀπὸ τοῦ
παρέπεσθαι πάσῃ γεωμετρικῇ ἁρμονίᾳ, γεωμετρι-
κὴν δὲ ἁρμονίαν φασὶ τὸν κύβον ἀπὸ τοῦ κατὰ
τρία διαστήματα ἡρμόσθαι ἰσάκις ἴσα ἰσάκις· ἐν
γὰρ παντὶ κύβῳ ἥδε ἡ μεσότης πάντως ἐνοπτρίζε-
ται· πλευραὶ μὲν γὰρ παντὸς κύβου εἰσὶν ιβ′,
γωνίαι δὲ ἡ, ἐπίπεδα δὲ στ′· μεσότης ἄρα ὁ ἡ
τῶν στ′ καὶ τῶν ιβ′ κατὰ τὴν ἁρμονικήν· ὡς γὰρ
οἱ ἄκροι πρὸς ἀλλήλους, οὕτως ἡ τοῦ μεγίστου
παρὰ τὸν μέσον διαφορὰ πρὸς τὴν τοῦ μέσου πα-
ρὰ τὸν ἐλάχιστον διαφοράν, καὶ πάλιν ὁ μέσος
ἄλλῳ μὲν ἑαυτοῦ μέρει μείζων ἐστὶ τοῦ ἐλάττο-
νος, ἄλλῳ δὲ ἐλάττων τοῦ μείζονος, ἑνὶ μέντοι
καὶ τῷ αὐτῷ αὐτῶν τῶν ἄκρων μέρει καὶ μείζων καὶ
ἐλάττων ὑπάρχει· καὶ ἑτέρως οἱ ἄκροι συντεθέν-
τες καὶ ὑπὸ τοῦ μέσου πολυπλασιασθέντες διπλά-
σιον ἀποτελοῦσι τοῦ ὑπὸ τῶν ἄκρων πρὸς ἀλλή-
λους γινομένου· καὶ ἡ μὲν διὰ τεσσάρων ἐστὶ τοῦ
ἡ πρὸς τὸν στ′· ἐπίτριτος γάρ· ἡ δὲ διὰ πέντε
τοῦ ιβ′ πρὸς τὸν ἡ· ἡμιόλιος γάρ· ἡ δὲ διὰ πα-
σῶν ἀμφοῖν οὖσα σύστημα ἡ τοῦ ιβ′ πρὸς τὸν
στ′· διπλασία γάρ· ἡ δὲ διὰ πασῶν ἅμα καὶ διὰ
πέντε τριπλάσιος οὖσα ἡ τῶν ἄκρων διαφορὰ
ὑπάρχει πρὸς τὴν τῶν ἐλαττόνων· ἡ δὲ δὶς διὰ
πασῶν ὁ μέσος ὅρος πρὸς τὴν ἑαυτοῦ καὶ τοῦ

ἐλάττονος διαφοράν. Οἰκειότατα ἄρα ἁρμονικὴ ὠνομάσθη.

κζ'. Ὥσπερ δὲ ἐν τῇ τοῦ μουσικοῦ κανόνος κατατομῇ χορδῆς μιᾶς τεταμένης ἡ αὐλοῦ μήκους ἑνὸς ἐκκειμένου τῶν ἄκρων ἀμεταπιήτων ὑπαρχόντων, μεταλαμβανούσης δὲ τῆς μεσότητος ἐν μὲν τῷ αὐλῷ διὰ τρυπημάτων, ἐν δὲ τῇ χορδῇ δι' ὑπαγωγέως, ἄλλον ἐξ ἄλλου τρόπον ἀποτελεῖσθαι δύνανται αἱ προλεχθεῖσαι τρεῖς μεσότητες, ἀριθμητική τε καὶ γεωμετρικὴ καὶ ἁρμονική, ἵνα εἰκότως καὶ ἐτυμώτατα ἂν καλοῖντο, διὰ τὴν τοῦ μέσου μετάστασίν τε καὶ μεταγωγὴν διαφόρως συντελούμεναι, οὕτω καὶ ἐν ἀριθμητικοῖς δυσὶν ὅροις, εἴτε περισσοῖς ἀμφοτέροις εἴτε καὶ ἀρτίοις, εὔλογόν ἐστι καὶ ἅμα δυνατὸν μένουσιν ἐν τῷ αὐτῷ καὶ μὴ μεταβιβαζομένοις μεσότητα καθ' ἑκάστην τῶν τριῶν ἐφαρμόζουσαν ἐντάσσεσθαι· κατὰ
